2748
5,303

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ

# ΙΕΡΑΝ ΑΠΟΚΑΛΥΨΙΝ

ΤΟΥ

ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ
ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ.

ΣΥΝΤΕΘΕΙΣΑ ΥΠΟ ΤΟΥ ΑΟΙΔΙΜΟΥ

**ΠΑΤΡΙΑΡΧΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ**

**ΑΝΘΙΜΟΥ.**

Νῦν πρῶτον τύποις ἐκδίδοται

Κελεύσει

ΤΟΥ ΜΑΚΑΡΙΩΤΑΤΟΥ ΚΑΙ ΘΕΙΟΤΑΤΟΥ ΠΑΤΡΙΑΡΧΟΥ ΤΩΝ ΙΕΡΟΣΟΛΥΜΩΝ

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

**ΚΥΡΙΛΛΟΥ.**

ΔΩΡΕΑ
ΙΩΑΝ. ΦΙΛΑΛΗΘΟΥΣ



ΒΙΒΛΙΟΘΗΚΗ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΓΕΝΟΥΣ ΣΧΟΛΗΣ 1868

ΕΝ ΙΕΡΟΣΟΛΥΜΟΙΣ.

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΤΟΥ ΠΑΝΑΓΙΟΥ ΤΑΦΟΥ,

Διευθυνομένης ὑπὸ Ι. ΛΑΖΑΡΙΔΟΥ.

**1856.**

ΚΕ 24

1853 ΣΦΡΑΓΙΣ ΤΗΣ ΠΑΤΡΙΑΡΧΙΚΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΤΟΥ ΠΑΝΑΓΙΟΥ ΤΑΦΟΥ
ΚΡ ΠΤ ΙΛ ΛΣ. ΡΧ. ΜΝ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Πρᾶξις Τυπογραφείου Ἀριθ. 19.

# ΕΡΜΗΝΕΙΑ

ΕΙΣ ΤΗΝ

# ΙΕΡΑΝ ΑΠΟΚΑΛΥΨΙΝ

ΤΟΥ

## ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ ΚΑΙ ΕΥΑΓΓΕΛΙΣΤΟΥ ΙΩΑΝΝΟΥ.

### ΚΕΦΑΛΑΙΟΝ Α΄.

1 Ἀποκάλυψις Ἰησοῦ Χριστοῦ, ἣν ἔδωκεν αὐτῷ ὁ Θεὸς, δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει, καὶ ἐσήμανεν ἀποστείλας διὰ τοῦ ἀγγέλου αὐτοῦ τῷ δούλῳ αὐτοῦ Ἰωάννῃ.

Ἀποκάλυψίς ἐστι δήλωσις τῶν ἀποῤῥήτων τοῦ Θεοῦ μυστηρίων, τῷ διὰ τῆς ἀποχῆς τῶν κακῶν καὶ ἐργασίας τῶν καλῶν προκαθαρθέντι τὸν λογισμὸν, καὶ τῷ θείῳ φωτὶ καταυγασθέντι ἐγγινομένη· αὕτη δὲ ἐγγίνεται ἢ καθ᾿ ὕπνον, ἢ ἐν ἐγρηγόρσει διὰ θείων ὀπτασιῶν. Λέγει οὖν οὗτος ὁ Εὐαγγελιστὴς Ἰωάννης, ὅτι αὕτη ἡ Ἀποκάλυψις καὶ δήλωσις τῶν μυστηρίων τῷ μὲν Ἰησοῦ Χριστῷ δέδοται ἀμέσως παρὰ τοῦ Θεοῦ καὶ Πατρὸς, τοῖς δὲ δούλοις αὐτοῦ δέδοται οὐκ ἀμέσως, ἀλλὰ δι᾿ ἀγγέλου, δεικνὺς διὰ τούτου τὴν ἀλήθειαν τῶν λεγομένων. Καὶ ἐπειδὴ ὁ Χριστός ἐστι τέλειος Θεὸς καὶ τέλειος ἄνθρωπος, ἐν μὲν τῇ ἀρχῇ τοῦ Εὐαγγελίου,

ὃ συνέγραψεν ὁ Ἰωάννης, προέταξε τὰ τῇ θείᾳ αὐτοῦ φύσει ἀνήκοντα, εἰπών· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος» (1). Ὡσαύτως καὶ ἐν τῷ προοιμίῳ τῆς πρώτης αὐτοῦ καθολικῆς Ἐπιστολῆς, τὴν θεότητα αὐτοῦ σημαίνων, λέγει· «Ὃ ἦν ἀπ' ἀρχῆς» (2)· εἶτα καταβαίνει εἰς τὰ τῆς ἀνθρωπότητος αὐτοῦ. Ἐν ταύτῃ δὲ τῇ Ἀποκαλύψει πρῶτον καταλέγει τὰ τῆς ἀνθρωπίνης αὐτοῦ φύσεως, εἶτα προβαίνει ἐπὶ τὰ τῆς θεότητος· λέγει γὰρ, Ἰησοῦς, ὅπερ ἐστὶν ὄνομα τῆς αὐτοῦ ἀνθρωπότητος· εἶτα Χριστὸς, ὅπερ ἐστὶν ὄνομα τῆς ὑποστάσεως αὐτοῦ, τῆς συντεθειμένης ἔκ τε τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος· ἐν τούτῳ γὰρ τῷ ὀνόματι συμπεριείληπται ὅ τε χρίσας Πατὴρ καὶ τὸ χρίσμα, ὅ ἐστι τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ὁ χρισθεὶς, ὅς ἐστιν ὁ ἐνανθρωπήσας Υἱὸς τοῦ Θεοῦ. Εἶτα διὰ τοῦ εἰπεῖν, τοῖς δούλοις αὐτοῦ καὶ τῷ Εὐαγγελίῳ αὐτοῦ, ὑπεσήμανε τὰ τῆς θεότητος· πρὸς γὰρ τὸν Θεὸν εἴρηται, ὅτι· «Τὰ σύμπαντα δοῦλα σά» (3). Τοῦτο πεποίηκε καὶ Πέτρος ἐν τῇ ὁμολογίᾳ αὐτοῦ, προτάξας τὰ ἀνθρώπινα, εἶτα προβὰς ἐπὶ τὰ θειότερα ἐν τῷ εἰπεῖν· «Σὺ εἶ ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος» (4)· τὸ γὰρ Χριστὸς συνέχει καὶ τὰ τῆς ἐνανθρωπήσεως· τὸ δὲ Υἱὸς τοῦ Θεοῦ τὰ τῆς θεότητος αὐτοῦ. Ἔτι τὸ εἰπεῖν, τὴν Ἀποκάλυψιν δεδόσθαι ὑπὸ τοῦ Θεοῦ τῷ Χριστῷ, τοῦτο προσήκει τῇ αὐτοῦ ἀνθρωπότητι· κατὰ μὲν γὰρ τὴν θεότητα ὅσα ἔχει ὁ Πατὴρ ἔχει καὶ ὁ Υἱὸς, ὁμοούσιος ὢν τῷ Πατρί· κατὰ δὲ τὴν ἀνθρωπότητα λέγεται λαμβάνειν παρὰ Θεοῦ. Εἰ δὲ φαίη τις, διατί περὶ τῶν βραδέως ἐσομένων καὶ τῶν μήπω γενομένων λέγει ὁ Εὐαγγελιστὴς, ἃ δεῖ γενέσθαι ἐν τάχει; ἀποκρινόμεθα, ὅτι τὸ ἐν τάχει ἐνταῦθα δηλοῖ τὸ ἀπαραιτήτως καὶ ἀφεύκτως γενήσεσθαι· τὰ γὰρ ἀνθρώπινα, παραμετρούμενα τοῖς θείοις, κἂν παραταθῇ ὁ χρόνος αὐτῶν εἰς χιλιάδας χρόνων, ἔσται ὡς ἡμέρα ἡ ἐχθὲς ἥτις διῆλθε, καὶ ὡς ταχίστη ἐστὶν

(1) Ἰωαν. ά, 1. (2) Ά Ἰωαν. ά. (3) ριή, 91. (4) Ματθ. ις', 16.

ἡ τούτων διάβασις, ὡς τοῦ χρονικοῦ μήκους οὐδ' ὅλως κωλύοντος τὴν τούτων ἀπόβασιν· καὶ γὰρ ἡ ἐχθὲς οὐ κεκώλυκε τὴν σήμερον, οὐδὲ ἡ σήμερον, ὅσον παραταθῇ, κωλύει τὴν αὔριον.

2 Ὃς ἐμαρτύρησε τὸν λόγον τοῦ Θεοῦ, καὶ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ, ὅσα τε εἶδε.

Τοιαῦτα καὶ ἐν τῷ Εὐαγγελίῳ αὐτοῦ εἰπών· «Οὗτός ἐστιν ὁ μαθητὴς ὁ μαρτυρῶν καὶ γράψας ταῦτα, καὶ οἴδαμεν, ὅτι ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ» (1). Καὶ πάλιν· «Ὁ ἑωρακὼς μεμαρτύρηκε, καὶ ἀληθής ἐστιν ἡ μαρτυρία αὐτοῦ, κἀκεῖνος οἶδεν ὅτι ἀληθῆ λέγει, ἵνα ὑμεῖς πιστεύσητε» (2). Ὥσπερ οὖν ἐκεῖ αἰσθητοῖς ὄμμασιν εἶδε τὰ πάθη τοῦ Χριστοῦ καὶ μεμαρτύρηκεν, οὕτω κἀνταῦθα ἃ ἐθεάσατο προφητικοῖς ὄμμασι, γράψας μεμαρτύρηκεν, ἵνα πιστεύσωσι καὶ μετανοήσωσιν οἱ ἡμαρτηκότες.

3 Μακάριος ὁ ἀναγινώσκων, καὶ οἱ ἀκούοντες τοὺς λόγους τῆς προφητείας, καὶ τηροῦντες τὰ ἐν αὐτῇ γεγραμμένα· ὁ γὰρ καιρὸς ἐγγύς.

Μακαρίζει οὐ μόνον τοὺς ἀναγινώσκοντας, δηλαδὴ τοὺς μετ' ἐπιμελείας καὶ προσοχῆς καταγινομένους εἰς τὴν μελέτην τῶν θείων Γραφῶν, ἀλλὰ καὶ τοὺς ἀκούοντας· περὶ οὗ λέγομεν, ὅτι ὥσπερ τῷ σώματι δύο ἐμπέφυκεν ὦτα πρὸς ἀκρόασιν, οὕτω κἂν τῇ ψυχῇ δύο ἐνυπάρχουσιν ἀκουστικαὶ δυνάμεις, ἥ τε κατάληψις τῶν λεγομένων καὶ ἡ πρᾶξις· πρῶτον γὰρ δεῖ συνιέναι, εἶτα διὰ πράξεως ἐκτελέσαι τὰ τῇ συνέσει καταληφθέντα. Περὶ τούτων τῶν ἀκουστικῶν δυνάμεων ἔφη καὶ ὁ Κύριος· «Ὁ ἔχων ὦτα ἀκούειν ἀκουέτω» (3). Τὸ δέ, ὁ γὰρ καιρὸς ἐγγὺς, δηλοῖ ὅτι οἱ συνιέν-

(1) Ἰωαν. κά, 24. (2) Ἰωαν. ιθ', 35. (3) Ματθ. ιγ', 9.

τες καὶ ποιήσαντες τὰς ἐντολὰς τοῦ Θεοῦ, ὑπανάπτυσι τὴν θερμότητα τῆς πρὸς Θεὸν ἀγάπης αὐτῶν, καὶ οὐδαμῶς γογγύζυσι, κἂν ὁ καιρὸς τοῦ καμάτου αὐτῶν παραταθῇ, ὅμως λογίζονται αὐτὸν βραχύν τινα, καὶ ὡς ἔγγιστα τοῦ τέλους ἑαυτοὺς ὑπολαμβάνουσιν, ὥσπερ καὶ τῷ πατρὶ ἡμῶν Ἰακὼβ τὰ πολλὰ ἔτη, ἃ δεδούλευκε τῷ Λάβαν, ἵνα κτήσηται τὰς δύο γυναῖκας, ἐλογίσθη αὐτῷ ὡς ἡμέρα μία (1).

4 Ἰωάννης ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν τῇ Ἀσίᾳ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ τοῦ ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος· καὶ ἀπὸ τῶν ἑπτὰ πνευμάτων, ἅ ἐστιν ἐνώπιον τοῦ θρόνου αὐτοῦ.

Ὁ παρὼν αἰὼν λέγεται ἑβδομαδικὸς, διότι περιειλεῖται καὶ περιςρέφεται εἰς ἑπτὰ ἡμέρας, ἀρχομένας ἀπὸ Κυριακῆς καὶ ληγούσας εἰς ἑβδόμην, καὶ μὴ περαιτέρω προχωρούσας, ἀλλὰ πάλιν ἀπὸ Κυριακῆς ἀρχομένας· διὸ καὶ ὁ ἑβδομαδικὸς ἀριθμὸς τίμιός ἐστιν, ὡς περιέχων τὴν δημιουργὸν Τριάδα καὶ τὸν τετράστοιχον κόσμον, οὗ καὶ ἐν τῇ δημιουργίᾳ ἑπτὰ ἡμέρας καταριθμεῖ ἡ θεία Γραφή. Δείκνυται δὲ διὰ τούτυ καὶ ὅτι ὁ παρὼν κόσμος ἀρχὴν ἔσχηκε καὶ τέλος. Λογίζεται δὲ καὶ ὁ μέλλων αἰὼν ὄγδοος, οὗ τύπος ἦν ἡ παρουσία τοῦ Χριστοῦ τοῖς μαθηταῖς αὐτοῦ κατὰ τὴν ὀγδόην ἡμέραν, τὴν μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, ὅτε ἔδειξεν αὐτοῖς τὰ στίγματα τοῦ πάθυς· οἷος καὶ ἐν τῷ αἰῶνι τῷ μέλλοντι μετὰ τὴν κοινὴν ἀνάςασιν ἐμφανῶς ὀφθήσεται τοῖς ἁγίοις αὐτοῦ, εὐφραίνων αὐτοὺς τὴν ἄληκτον εὐφροσύνην. Ταύτης τῆς ὀγδόης τῆς μετὰ τὴν κοινὴν ἀνάστασιν ἐσομένης τύπος τὸ πάλαι ἐγένετο ἡ τῶν Ἰσραηλιτῶν ἐν ὀγδόῃ ἡμέρᾳ περιτομὴ, δηλοῦντος

(1) Γεν. κεφ. κθ΄.

τοῦ τύπου, ὅτι ἐν τῇ μελλούσῃ ζωῇ ἔσται ἀποτομὴ καὶ ἀπόθεσις τῆς πράξεως τῶν ἁμαρτιῶν, ὥσπερ ἐστὶν ἡ περιτομὴ ἀπόθεσις τοῦ ἐφαμάρτου μορίου· καὶ τὸ τηνικαῦτα κατάστημα τοῖς μὲν δικαίοις ἔσται ἡμέρα λαμπρὰ, πεπληρωμένη χαρᾶς καὶ δόξης, τοῖς δὲ ἁμαρτωλοῖς καὶ τοῖς ἀμετανοήτοις νὺξ ἀφεγγὴς καὶ ζοφερὰ πλήρης θλίψεων καὶ ὀδυνῶν, ἀμφοτέροις δὲ ἀτελεύτητα· ὅθεν ὁ Εὐαγγελιστὴς ἐνταῦθα ἑπτὰ εἰπὼν τὰς ἐκκλησίας, ὑπέφηνε τὰς ἀνὰ πᾶσαν τὴν οἰκουμένην συναγωγὰς τῶν Χριστιανῶν, τὰς διατελούσας ἐν τῷδε τῷ ἑβδομαδικῷ αἰῶνι. Ἔτι δὲ ἐν τῇ Ἀσίᾳ, ἐν ᾗ διέτριβεν ὁ θεόπνευστος οὗτος Εὐαγγελιστὴς, ἦσαν ἑπτὰ ἐκκλησίαι κατὰ τὸν ἀριθμὸν τῶν ἑπτὰ πόλεων, ἃς ὑπομνήσει κατωτέρω. Τὸ δὲ ἀπὸ τοῦ ὁ ὢν καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, δηλοῖ τὸν Πατέρα καὶ τὸν Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον· ὁ γὰρ Πατὴρ χρηματίζων τῷ Μωϋσῇ, εἴρηκεν· «Ἐγώ εἰμι ὁ ὤν» (1)· τὸν δὲ Υἱὸν ὁ αὐτὸς θεηγόρος Εὐαγγελιστὴς ὀνομάζει, ἦν, ἐν τῷ λέγειν εἰς μὲν τὸ Εὐαγγέλιον· «Ἐν ἀρχῇ ἦν ὁ Λόγος» (2), εἰς δὲ τὴν Ἐπιστολὴν αὐτοῦ· «Ὃ ἦν ἀπ' ἀρχῆς» (3). Ἐρχόμενος δὲ λέγεται τὸ Πνεῦμα τὸ ἅγιον, διότι ἦλθε κατὰ τὴν Πεντηκοστὴν, ἐπιφοιτῆσαν τοῖς ἁγίοις μαθηταῖς καὶ Ἀποστόλοις· ὥσπερ οὐ διαλείπει ἐπερχόμενον ἐπί τε τῶν ἁγίων Μυστηρίων καὶ ἐπὶ τῶν ἀξίων τῆς τούτου δωρεᾶς καὶ χάριτος. Ἑπτὰ δὲ πνεύματα κατ' ἀριθμὸν τῶν ἐκκλησιῶν ὀνομάζει τοὺς ἁγίους Ἀγγέλους, οἷς ἐγκεχείρισται ἡ διοίκησις καὶ προστασία τῶν ἐν τῷ ἑπταδικῷ τούτῳ αἰῶνι ἐκκλησιῶν. Ἐνώπιον δὲ λέγονται εἶναι τοῦ θρόνου τοῦ Θεοῦ, ὡς παρεστηκότες καὶ τὴν δουλείαν ἐμφαίνοντες καὶ ποιοῦντες τὸ θέλημα τοῦ Κυρίου· ὅπου γὰρ αὐτὸς, ἐκεῖ καὶ οἱ διάκονοι αὐτοῦ, οὐ τόπῳ περιγραπτοὶ, ἀλλὰ τῇ κατὰ προαίρεσιν ἐγγύτητι παρόντες, οἵτινες καὶ πνεύματα λέγονται κατὰ τὸν εἰπόντα· «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα» (4), διὰ τὸ ἄϋλον καὶ ἀσώματον.

(1) Ἐξοδ. γ', 14. (2) Ἰωαν. ά, 1. (3) Ἰωαν. ά, 1. (4) Ψαλμ. ργ', 5.

5 **Καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ, ὁ μάρτυς ὁ πιστὸς, ὁ πρωτότοκος ἐκ τῶν νεκρῶν, καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς· τῷ ἀγαπήσαντι ἡμᾶς, καὶ λούσαντι ἡμᾶς ἀπὸ τῶν ἁμαρτιῶν ἡμῶν ἐν τῷ αἵματι αὐτοῦ.**

Ἡ σύνταξις τοῦ παρόντος ἐδαφίου καίτοι δοκεῖ σόλοικος, διὰ τὴν τῶν πτώσεων ἐναλλαγὴν, ἀλλ' οὐχ οὕτω· τὸ γὰρ ὀρθὸν, καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν ὁ μάρτυς ὁ πιστὸς, ὁ πρωτότοκος ἐκ τῶν νεκρῶν καὶ ὁ ἄρχων τῶν βασιλέων τῆς γῆς· αὐτῷ ἡ δόξα τῷ ἀγαπήσαντι ἡμᾶς. Ἐν μὲν τῷ προλαβόντι τετάρτῳ ἐδαφίῳ εἰπὼν, ὁ ἦν, τὸ θεοπρεπὲς τοῦ θεανθρώπου δεδήλωκε, τὴν προαιώνιον αὐτοῦ ἐμφαίνων ὀντότητα· ἐν δὲ τῷ παρόντι τὰ κατὰ τὴν ἐνανθρώπησιν· μετὰ γὰρ τὸ εἰπεῖν, καὶ ἀπὸ τῶν πνευμάτων, ἐπιφέρει καὶ ἀπὸ Ἰησοῦ Χριστοῦ· διὰ γὰρ τὸ πάθημα καὶ τὸν θάνατον λέγεται καὶ παρὰ τοῦ ψαλμῳδοῦ ἠλαττοῦσθαι βραχύ τι παρ' ἀγγέλου· οὐ διαιρῶν τὸν ἕνα Χριστὸν εἰς δύο ὑποστάσεις, ἄπαγε! ἀλλὰ δεικνύων, ὅτι εἷς καὶ ὁ αὐτὸς τέλειος ἐν μιᾷ ὑποστάσει, καὶ τούτου αὐτοῦ ἐστι τάτε αὐχήματα τῆς θεότητος, καὶ τὰ ταπεινὰ τῆς ἀνθρωπότητος. Ὁ αὐτὸς τοίνυν λέγεται κατὰ τὸ ἀνθρώπινον καὶ μάρτυς πιστός· μάρτυς μὲν, διότι ἐμαρτύρησεν ἐπὶ Ποντίου Πιλάτου εἰπών· «Ἐγὼ ἦλθον ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ» (1), καὶ ὅτι· «Ἡ ἐμὴ διδαχὴ οὐκ ἔστιν ἐμὴ, ἀλλὰ τοῦ πέμψαντός με» (2)· πιστὸς δὲ, ὅτι οὐκ ἔστι ψιλὸς ἄνθρωπος, ἀλλὰ Θεὸς καὶ ἄνθρωπος, ὁ αὐτὸς ἀπέθανε μὲν ὡς ἄνθρωπος, ἀνέστη δὲ ὡς Θεὸς, οὐ δυνάμει ἀλλοτρίᾳ, ὡς οἱ ἐγερθέντες παρὰ τῶν ἁγίων, ἀλλὰ δυνάμει οἰκείᾳ, καὶ μετὰ τὸ ἀναστῆναι οὐκέτι ἀπέθανεν, ἀλλὰ διαμένει ζῶν εἰς αἰῶνας, καὶ θάνατος οὐκέτι κυ-

(1) Ἰωαν. ιή, 37. (2) Ἰωαν. ζ', 16.

ριεύει τῆς αὐτοῦ ἀνθρωπότητος. Διὰ ταῦτα λέγεται καὶ πρωτότοκος τῶν νεκρῶν ἡ ἀνθρωπότης αὐτοῦ· ἐγένετο γὰρ ἀπαρχὴ τῆς ζωῆς τῆς μελλούσης καὶ τῶν προσδοκωμένων ἀγαθῶν. Ἄρχοντα δὲ τῶν βασιλέων τῆς γῆς ὠνόμασεν αὐτὸν Δανιὴλ ὁ Προφήτης εἰπὼν πρὸς τὸν Βαβυλώνιον, ὁ ὕψιστος βασιλεύει καὶ κυριεύει πάντων τῶν βασιλέων τῆς γῆς (1)· οὐ μόνον δὲ τῶν τῆς γῆς, ἀλλὰ καὶ πάσης ἀρχῆς καὶ ἐξουσίας, τῆς τε ἐν γῇ καὶ τῆς ἐν οὐρανοῖς. Εἰ δὲ εἴποις, ὅτι ὁ Δανιὴλ τοῦτο εἶπε περὶ τῆς τρισυποστάτου θεότητος καὶ οὐ περὶ τοῦ Χριστοῦ μόνον, ἀποκρινόμεθα, ὅτι τὰ φυσικὰ καὶ οὐσιώδη προσήκει ταῖς τε τρισὶν ὑποστάσεσιν ἅμα, καὶ προσέτι ἑκάστῃ τῶν τριῶν, μὴ ἐξιδιαζόμενα μιᾷ μόνῃ χωρὶς τῆς ἑτέρας· τοὐναντίον δὲ αἱ ὑποστατικαὶ ἰδιότητες· αὗται γὰρ ἐξιδιάζονται ἑκάστῃ τῶν ὑποστάσεων, μὴ κοινωνούμεναι ἑτέρᾳ· οἷον ὁ Πατὴρ οὐ λέγεται Υἱὸς οὐδὲ Πνεῦμα, οὐδὲ γεννητὸς, οὐδὲ ἐκπορευτὸς, οὐδὲ αἰτιατός· μήτε μὴν ὁ Υἱὸς λέγεται Πατὴρ, ἢ γεννήτωρ, ἢ προβολεύς· ταῦτα γὰρ τὰ ὀνόματα διακρίνουσιν ἀπ' ἀλλήλων τὰς ἁγίας τρεῖς ὑποστάσεις, ἵνα μὴ σύγχυσις καὶ συναλοιφὴ γένηται· διὸ καὶ ὁ Υἱὸς, ὁμοούσιος ὢν τῷ Πατρὶ καὶ τῷ Πνεύματι, λέγεται καὶ ἄρχων τῶν βασιλέων τῆς γῆς. Οὗτός ἐστιν ὁ ἀγαπήσας ἡμᾶς ὥστε καὶ σταυρωθῆναι, καὶ ἀντίλυτρον ἡμῶν εἰς θάνατον ἑαυτὸν παραδοὺς σταυρικὸν, ἵνα ἡμᾶς ἐκπλύνῃ ἀπὸ τοῦ ῥύπου τῶν ἁμαρτιῶν, τῷ αἵματι καὶ τῷ ὕδατι, τῷ κενωθέντι ἐπὶ τοῦ σταυροῦ.

6 **Καὶ ἐποίησεν ἡμᾶς βασιλεῖς καὶ ἱερεῖς τῷ Θεῷ καὶ Πατρὶ αὐτοῦ, αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.**

Οἱ μὲν Ἑβραῖοι διὰ τὴν θεοκτονίαν ἀπεστέρηνται ὧν προε-

(1) Δανιὴλ έ, 21.

κέκτηντο ἐκ Θεοῦ χαρισμάτων, τῆς βασιλείας δηλαδὴ καὶ τῆς ἱερωσύνης καὶ τῆς προφητείας· ἡμῖν δὲ τοῖς εὐσεβέσι διὰ τοῦ ἁγίȣ βαπτίσματος καὶ τοῦ ἱεροῦ χαρίσματος δέδοται ἡ ἐξȣσία κατὰ πνευμάτων ἀκαθάρτων, καὶ ἱερωσύνη ἵνα δι' αὐτῆς ὑπουργῶμεν τῷ Θεῷ. Ἡτοίμασται δὲ ἡμῖν καὶ βασιλεία αἰώνιος ἐν οὐρανοῖς.

7 Ἰδοὺ ἔρχεται μετὰ τῶν νεφελῶν, καὶ ὄψεται αὐτὸν πᾶς ὀφθαλμὸς, καὶ οἵτινες αὐτὸν ἐξεκέντησαν· καὶ κόψονται ἐπ' αὐτὸν πᾶσαι αἱ φυλαὶ τῆς γῆς· ναὶ, ἀμήν.

Ἡ μὲν πρώτη παρουσία τοῦ Κυρίου ἡμῶν ἦν σιγηρὰ καὶ ἀνεπαίσθητος, ὡς ἡ δρόσος ἡ καταβαίνουσα ἐπὶ τῆς γῆς, καὶ ὡς ὑετὸς ἐπὶ πόκον· ἡ δὲ δευτέρα αὐτοῦ παρουσία οὐχ οὕτως ἔσται, ἀλλ' ἐν παῤῥησίᾳ καὶ δόξῃ καὶ μεγαλοπρεπείᾳ τοῦ Πατρὸς αὐτοῦ· ἐλεύσεται γὰρ νεφέλαις ὀχούμενος, ὃν τρόπον ἐθεάσαντο αὐτὸν οἱ μαθηταὶ ἀναλαμβανόμενον εἰς τὸν οὐρανὸν, ὡς καὶ αὐτὸς εἴρηκεν· «Ὄψονται τὸν Υἱὸν τοῦ ἀνθρώπȣ ἐρχόμενον ἐπὶ τῶν νεφελῶν τοῦ οὐρανοῦ» (1)· περὶ οὗ καὶ ὁ Προφητάναξ εἴρηκεν· «Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ» (2). Νεφέλαι δὲ τοῦ οὐρανοῦ ὀνομάζονται αἱ νοεραὶ οὐράνιαι δυνάμεις τῶν ἀγγέλων, προσέτι καὶ οἱ ἅγιοι· ὥσπερ γὰρ τῇ θερμότητι τοῦ ἡλίου ἀνάγονται αἱ νεφέλαι ἐξ ἐσχάτου τῆς γῆς, καὶ πρὸς ὕψος οὐράνιον μετεωρίζονται, οὕτω καὶ οἱ δίκαιοι, καί τοι ἐν γῇ γεννηθέντες ὡς καὶ οἱ λοιποὶ, τῇ θερμότητι μέντοι τῆς ἀγάπης τοῦ Θεοῦ ἀποσπῶνται τῶν γηΐνων κατὰ τὸν νοῦν, καὶ πρὸς ὕψος οὐράνιον ἀναφέρονται τὰ ἄνω φρονοῦντες, περὶ ὧν καὶ Παῦλος ἔφη, ὅτι οἱ δίκαιοι ἁρπαγήσονται ἐν νεφέλαις εἰς ἀέρα πρὸς ὑπάντησιν τοῦ ἐρχομένου κριτοῦ (3).

(1) Μαρκ. ιγ', 26. (2) Ψαλμ. ργ', 3. (3) Α' Θεσ. δ', 17.

Περὶ τούτων καὶ Δαβὶδ εἶπεν· «Ἀπὸ τῆς τηλαυγήσεως ἐνώπιον αὐτοῦ, αἱ νεφέλαι διῆλθον» (1)· καὶ Ἀμὼς καὶ Ἡσαίας φατόν· «Τίνες οἵ δε ὡς νεφέλαι πέτανται καὶ ὡς νεοσσοὶ ἀετῶν» (2); Τοῦτο καὶ ἐνταῦθα εἴρηται τῷ θεσπεσίῳ Εὐαγγελιστῇ, ὅτι ἔρχεται μετὰ τῶν νεφελῶν, τουτέστι ἡ δευτέρα παρουσία τοῦ Κυρίου ἔσται μετὰ δυνάμεων ἀγγελικῶν καὶ δορυφορίαις δικαίων ἐν δόξῃ καὶ λαμπρότητι, οἷα ἐφάνη τοῖς μαθηταῖς ἐν τῷ Θαβὼρ, ὅτε καὶ νεφέλη περιέλαβεν αὐτούς· καὶ ὄψονται αὐτὸν αἰσθητοῖς τε καὶ νοητοῖς ὀφθαλμοῖς, οὐ μόνον οἱ πιστεύσαντες, ἀλλὰ καὶ οἵτινες ἐξεκέντησαν καὶ ἐσταύρωσαν αὐτὸν, καὶ οἱ ἀσεβείαις καὶ αἱρέσεσιν αὐτὸν τραυματίζοντες. Καὶ οἱ μὲν εὐσεβεῖς χαρήσονται, αἱ δὲ φυλαὶ τῆς γῆς, τουτέστιν οἱ τὰ γήϊνα φρονοῦντες καὶ τοῖς τοῦ κόσμου ματαίοις προστετηκότες, πενθήσουσι καὶ κλαύσουσι, κατὰ τὸ, «Οὐαὶ ὑμῖν οἱ γελῶντες νῦν, ὅτι πενθήσετε καὶ κλαύσετε» (3). Τὸ δὲ, ναὶ ἀμὴν, δηλοῖ ὅτι ἀναμφιβόλως καὶ ἀμεταθέτως οὕτως ἔσται.

8 **Ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ἀρχὴ καὶ τέλος, λέγει ὁ Κύριος, ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος, ὁ παντοκράτωρ.**

Τὸν αἰσθητὸν τοῦτον κόσμον διδάσκει ἡμᾶς ἡ θεία Γραφὴ ἐν ἓξ ἡμέραις δεδημιουργῆσθαι, εὔδηλον δὲ καὶ ὅτι ἐκ τεσσάρων σύγκειται στοιχείων· τετράκις δὲ τὰ ἓξ πολλαπλασιαζόμενα ἀποτελεῖ τὸν εἰκοσιτέσσαρα ἀριθμόν. Ἀλλὰ καὶ τὰ τῶν Ἑλλήνων γράμματα εἰσὶν εἰκοσιτέσσαρα, ὧν πρῶτον μὲν τὸ α, τελευταῖον δὲ τὸ ω μέγα, ὅπερ σημαίνει, ὅτι καὶ πρὸ τοῦ κόσμου καὶ μετὰ τὸν κόσμον ἄναρχος δηλαδὴ καὶ ἀτελεύτητος ὁ Θεός ἐστι. Τοῦτο προείρηται καὶ ἐν τῷ Ἡσαΐᾳ· «Ἐγὼ Θεὸς πρῶτος, ἐγὼ καὶ μετὰ

(1) Ψαλμ. ιζ', 13. (2) Ἡσ. ξ', 8. (3) Λουκ. ς', 25.

ταῦτα» (1). Ἁρμόττει δὲ ὁ λόγος οὗτος καὶ ταῖς τρισὶν ἁγίαις Ὑποστάσεσι, καὶ μιᾷ ἑκάστῃ αὐτῶν· νῦν δὲ περὶ τοῦ Υἱοῦ εἴρηται, καὶ δηλοῖ πρὸς ταῖς ῥηθείσαις σημασίαις ἕτερόν τι, τῷ Υἱῷ μόνον ἁρμόττον· τὸ μὲν γὰρ ἄλφα πρῶτον ἐστὶ τῶν εἰκοσιτεσσάρων γραμμάτων καὶ ἁπλοῦν, τὸ δὲ ω ἔσχατον καὶ διπλοῦν, ἐκ δύο οο σῶζον ἀμφότερα τέλεια καὶ ἀμιγῆ, καὶ ἀμετάβλητα ἐν ἑνὶ γράμματι. Ὑπεμφαίνει οὖν, ὅτι πρὸ πάντων τῶν αἰώνων ὁ μονογενὴς ἁπλοῦς Θεὸς ἦν, ἐπ' ἐσχάτων δὲ προσέλαβε τὴν ἀνθρωπότητα, καὶ ἐν μιᾷ ὑποστάσει ἀδιαιρέτους καὶ ἀσυγχύτους καὶ ἀναλλοιώτους σώζει τὰς δύο φύσεις θεότητος καὶ ἀνθρωπότητος· καὶ συλλήβδην φάναι ὁ αὐτός ἐστι πάντων τῶν ὄντων ἄναρχος ἀρχὴ, καὶ ἀτελεύτητος τελευτή ἐστιν ὡςΘεὸς, περὶ οὗ καὶ τὸ ἐπαγόμενον ὁ ὢν καὶ ὁ ἦν καὶ ὁ ἐρχόμενος· ὁ γὰρ Υἱὸς ὡς Θεὸς ἀεὶ ὤν ἐστιν, οὐκ ἔχων ἀρχὴν οὐδὲ τελευτήν· καὶ ἦν, ὅτι ἐν ἀρχῇ ἦν πρὸς τὸν Θεόν· καὶ ἐρχόμενος, ὅτι ἦλθε διὰ σαρκὸς ἐπὶ τῆς γῆς, καὶ πάλιν ἐλεύσεται κριτὴς ζώντων καὶ νεκρῶν, ὁ αὐτὸς καὶ παντοκράτωρ.

9 Ἐγὼ Ἰωάννης ὁ καὶ ἀδελφὸς ὑμῶν, καὶ συγκοινωνὸς ἐν τῇ θλίψει καὶ ἐν τῇ βασιλείᾳ καὶ ὑπομονῇ Ἰησοῦ Χρισοῦ, ἐγενόμην ἐν τῇ νήσῳ Πάτμῳ διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ.

10 Ἐγενόμην ἐν πνεύματι ἐν τῇ κυριακῇ ἡμέρᾳ· καὶ ἤκουσα ὀπίσω μου φωνὴν μεγάλην ὡς σάλπιγγος.

---

(1) Ησ. μδ', 6.

11 Λεγούσης· ἐγώ εἰμι τὸ Α καὶ τὸ Ω, ὁ πρῶτος καὶ ὁ ἔσχατος, καὶ ὃ βλέπεις γράψον εἰς βιβλίον, καὶ πέμψον ταῖς ἑπτὰ ἐκκλησίαις ταῖς ἐν Ἀσίᾳ, εἰς Ἔφεσον, καὶ εἰς Σμύρνην, καὶ εἰς Πέργαμον, καὶ Θυάτειρα, καὶ εἰς Σάρδεις, καὶ εἰς Φιλαδέλφειαν, καὶ εἰς Λαοδίκειαν.

Ἀδελφὸν ἑαυτὸν ὀνομάζει τοῖς πιστοῖς, διδάσκων διὰ τούτου τοὺς προϊσταμένους μὴ κατεπαίρεσθαι τῶν ὑποδεεστέρων, ἀλλ' ἀδελφοὺς τούτους ἡγεῖσθαι, καὶ ὅτι συνημμένους δέον εἶναι τοὺς πάντας εἰς ἑνότητα ἀγάπης, μεμνημένους ὅτι πάντες ἔχομεν ἕνα Πατέρα τὸν ἐν οὐρανοῖς, ἀναγεγεννημένους διὰ τοῦ ἑνὸς θείου βαπτίσματος. Κοινωνὸν δὲ ἐν τῇ θλίψει, ὅτι ὥσπερ αὐτὸς, οὕτω κἀκεῖνοι ἐν θλίψει διῆγον καὶ κακώσει ὑπὲρ Χριστοῦ. Ἐπάγει δὲ τὴν βασιλείαν καὶ τὴν ὑπομονὴν τοῦ Ἰησοῦ Χριστοῦ ὑπομιμνήσκων, ὅτι ὥσπερ ὁ Χριστὸς ὑπὲρ ἡμῶν ὑπέμεινε βασάνους, οὕτω χρὴ καὶ τοὺς εἰς αὐτὸν πιστεύοντας ὑπὲρ αὐτοῦ κακοπαθεῖν, καὶ ὅτι οἱ συγκακοπαθήσαντες τῷ Χριστῷ, οὗτοι καὶ συμβασιλεύουσιν αὐτῷ. Ἐγένετο δὲ ἐν τῇ νήσῳ τῇ καλουμένῃ Πάτμῳ, ἐξορισθεὶς ἐκεῖσε ὑπὸ Δομετιανοῦ, διότι ἐκήρυττε τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν Ἰησοῦ Χριστοῦ. Ἐνταῦθα ὁ Εὐαγγελιστὴς ἀναφέρει τὴν μαρτυρίαν, ἤτοι τὸν σταυρὸν καὶ τὸν θάνατον οὐ πρὸς τὴν θεότητα, ἀλλὰ πρὸς τὴν ἀνθρωπότητα, προτάξας τὸ, Ἰησοῦς, ὅ ἐστιν ὄνομα τῆς ἀνθρωπότητος. Ἐν Πνεύματι δὲ λέγει γεγενῆσθαι τὴν Ἀποκάλυψιν, ὅτι οὐδὲν ἐν αὐτῇ σαρκικὸν, ἀλλὰ πάντα πνευματικά. Ἐν Κυριακῇ δὲ ἐγένετο· ἐν ταύτῃ γὰρ ἡ ἀνάμνησις τῆς τοῦ Κυρίου ἐκ νεκρῶν ἀναστάσεως καὶ ἡ ἀπὸ πάντων τῶν τὴν διάνοιαν πρὸς τὰ κοσμικὰ περισπώντων κατάπαυσις,

καθ' ἣν ἀφορίζεται ὁ νοῦς πρὸς μόνην τὴν τῶν θείων θεωρίαν. Ἤκουσε δὲ τὴν φωνὴν τοῖς πνευματικοῖς ὠσὶν, ἅτινα ἐστὶ τὸ συνιέναι τὰ λεγόμενα καὶ τὸ πράξαι τὰ ἐντελλόμενα. Περὶ τοιούτων ὤτων φησὶν Ἡσαίας· «Ἔθηκέ μοι πρωῒ πρωῒ ὠτίον τοῦ ἀκοῦσαι» (1)· δισσεύσας τὸ πρωῒ ἵνα δείξῃ τὸ σύντονον τῆς προσοχῆς καὶ τὴν σπουδὴν εἰς ὑπακοὴν τοῦ Θεοῦ, ὡς καὶ ὁ Δαβὶδ λέγει· «Τὸ πρωῒ εἰσακούσῃ τῆς φωνῆς μου, το πρωῒ παραστήσομαί σοι καὶ ἐπόψει με» (2)· καὶ διὰ τῆς δηλώσεως τοῦ καιροῦ ὑπετύπωσαν ἀμφότεροι οἱ Προφῆται τὸ ὀρθρίζειν καὶ ταχύνειν πρὸς τὰ καλὰ ἔργα. Ὄπισθεν δὲ ἠκούσθη ἡ φωνὴ· τὸ γὰρ ἔλεος τοῦ Κυρίου καταδιώκει καὶ ἐπιστρέφει πρὸς ἑαυτὸ καὶ τοὺς φεύγοντας. Ἦν δὲ ἡ φωνὴ μεγάλη ὡς σάλπιγγος, πρῶτον μὲν ὅτι ἡ σάλπιγξ δηλοῖ παρουσίαν βασιλέως, καὶ δεύτερον ἵνα δείξῃ, ὅτι ἀναγκαία ἐστὶν ἡ μήνυσις τῶν ἀκουσθέντων πρὸς τὰς ἑπτὰ Ἐκκλησίας, καὶ δι' αὐτῶν πρὸς πάσας τὰς ἀνὰ πᾶσαν τὴν οἰκουμένην συναθροίσεις τῶν Χριστιανῶν.

12 Καὶ ἐπέστρεψα βλέπειν τὴν φωνὴν, ἥτις ἐλάλησε μετ' ἐμοῦ, καὶ ἐπιστρέψας εἶδον ἑπτὰ λυχνίας χρυσᾶς.

Ὅρα, ὅτι ἐν τοῖς πνευματικοῖς τὸ ἀκούειν καὶ τὸ βλέπειν ταὐτόν ἐστι· δέον γὰρ εἰπεῖν, ὑπέστρεψα ἀκοῦσαι, λέγει ὑπέστρεψα ἰδεῖν τὴν φωνήν· ἡ γὰρ φωνὴ ἀόρατος, ἀλλ' οὐ λαλιὰ αἰσθητὴ, δύναμις δὲ ἦν θεϊκὴ, ἐντυποῦσα τὰ μυστήρια αὐτῆς ἐν τῷ νοῒ τῷ κεκαθαρμένῳ τοῦ θεσπεσίου Ἰωάννου, δι' ἧς ἑώρακεν ἑπτὰ λυχνίας χρυσᾶς. Αἱ τοίνυν λυχνίαι εἰσὶν αἱ ἐκκλησίαι, βάσεις οὖσαι τῶν λύχνων, τουτέστι, τῶν ἁγίων τῶν ἐχόντων τὸ φῶς τὸ ἀληθινὸν, καὶ τὴν λαμπρότητα τῆς πίστεως μεταδιδόντων, πρὸς οὓς

(1) Ἡσ. ν', 4. (2) Ψαλμ. ε', 3.

καὶ ὁ Ἀπόστολος λέγει· «Γίνεσθε ὡς φωστῆρες ἐν τῷ κόσμῳ, λόγον ζωῆς ἐπέχοντες» (1), ἤτοι μεταλαμβάνοντες τὸ φῶς παρὰ τοῦ Χριστοῦ, τῆς πηγῆς τοῦ φωτὸς τοῦ ἀνεσπέρου, πρὸς ὃν λέγει καὶ ὁ Προφήτης· «Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων» (2), διὰ τῶν ἀγγελικῶν δηλαδὴ δυνάμεων, καὶ διὰ τῶν ἀνθρώπων τῶν πεφωτισμένων, οἵτινες λαμβάνοντες παρὰ τοῦ Χριστοῦ τοῦ ἀληθινοῦ φωτὸς, μετοχετεύουσιν αὐτὸ τοῖς ὑποδεεστέροις διὰ τῆς διδασκαλίας αὐτῶν, καὶ μεταδιδόασι τὸ φῶς οὐκ οἴκοθεν ἔχοντες, ἀλλὰ μεταλαμβάνοντες παρὰ τοῦ φωτὸς τοῦ ἀληθινοῦ, τοῦ φωτίζοντος πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, δηλαδὴ εἰς τὴν πίστιν καὶ εἰς τὴν ἐκκλησίαν τὴν κοσμοῦσαν τὰς ψυχὰς, ὥσπερ καὶ οἱ λύχνοι οὐκ οἴκοθεν ἔχουσι τὸ φωτίζειν, ἀλλὰ παρὰ τοῦ φωτὸς παραλαμβάνοντες. Αἱ δὲ θεαθεῖσαι τῷ Εὐαγγελιστῇ λυχνίαι ἦσαν χρυσαί· ὥσπερ γὰρ ὁ χρυσὸς τιμιώτερος ὢν τῶν μετάλλων, καὶ δοκιμάζεται καὶ καθαρίζεται διὰ πυρὸς, καὶ οὐ φθείρεται ἐν τῇ γῇ, οὐδὲ σκωρίαν ἐπιδέχεται, οὕτω καὶ οἱ ἀξιωθέντες τοῦ θείου φωτισμοῦ, πάντων ἀνθρώπων τιμιώτεροί εἰσι καὶ δοκιμάζονται καὶ καθαρίζονται διὰ τῶν θλίψεων, καὶ οὐ μειοῦται αὐτῶν ἡ πίστις οὐδὲ φθείρεται, οὐδὲ σκωρίαν τὴν ἐκ τῆς πονηρίας ἐπιδέχεται.

13 **Καὶ ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν, ὅμοιον υἱῷ ἀνθρώπου ἐνδεδυμένον ποδήρη καὶ περιεζωσμένον πρὸς τοῖς μαστοῖς ζώνην χρυσῆν.**

Προέφημεν, ὅτι ἑπτὰ λυχνίαι εἰσὶν αἱ ἀνὰ πᾶσαν τὴν οἰκουμένην ἐκκλησίαι τῶν Ὀρθοδόξων· υἱὸς δὲ ἀνθρώπου ἐστὶν ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ καταδεξάμενος γενέσθαι καὶ υἱὸς ἀνθρώπου, ὡς προεώρακεν αὐτὸν Δανιὴλ ὁ Προφήτης. Τὸ δὲ ποδήρη, ἤτοι τὸ

(1) Φιλιπ. β΄, 15. (2) Ψαλμ. οϛ΄, 4.

μέχρι ποδῶν παρατεταμένον ἔνδυμα, ἐστὶν ἡ φύσις τῆς ἀνθρωπότητος, ἣν ἐνεδύσατο ὁ Υἱὸς τοῦ Θεοῦ, ὅλος ὅλῃ τῇ φύσει ἑνωθεὶς, καὶ μηδὲν τῶν ἀδιαβλήτων αὐτῆς παραλιπὼν, ἀλλὰ πάντα καταδεξάμενος, ἕως καὶ τὰ ταπεινὰ καὶ εὐτελῆ ταύτης φυσικὰ ἰδιώματα. Τὸ δὲ μὴ εἰπεῖν, ἁπλῶς υἱὸν ἀνθρώπου ἑωρακέναι, ἀλλὰ ὅμοιον υἱῷ ἀνθρώπου, δηλοῖ ὅτι πάντα μὲν τὰ τῆς ἀνθρωπότητος προσείληφεν ἐν τῇ αὐτοῦ ὑποστάσει ὁ Θεὸς λόγος, ἡ μέντοι σύλληψις καὶ ἡ γέννησις οὐ κατὰ τοὺς λοιποὺς τῶν ἀνθρώπων ἐν ῥύποις καὶ μολυσμῷ γενομένη ἐστὶν, ἀλλὰ ἀχράντως καὶ ἀμολύντως καὶ ἀναμαρτήτως συνελήφθη καὶ ἐγεννήθη. Οὗτος τοίνυν ἐν μέσῳ ἡμῶν τῶν Χριστιανῶν πάρεστι διὰ τῶν θείων μυστηρίων, ὀφθαλμοῖς μὲν αἰσθητοῖς ἀόρατος, τοῖς δὲ ὄμμασι τοῦ νοὸς ὁρώμενός τε καὶ πιστευόμενος, ὡς ἐπηγγείλατο ἔν τε τῇ παλαιᾷ Διαθήκῃ εἰπών· «Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω» (1), καὶ ἐν τῇ νέᾳ τοῦ Εὐαγγελίου τῆς χάριτος· «Καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος» (2), διὰ τοῦτο ἐφάνη τῷ Εὐαγγελιστῇ ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν. Περὶ δὲ τῆς ζώνης λέγομεν, ὅτι οἱ μὲν ἱερεῖς τῆς Μωσαϊκῆς νομοθεσίας ἐν τῷ καιρῷ τῆς ἱερατικῆς αὐτῶν λειτουργίας περιεζώννυντο ζώνην ποικιλτὴν χρώμασι πολυειδέσιν, ὥσπερ καὶ οἱ ἱερεῖς τοῦ Χριστοῦ ἐν τῷ καιρῷ τῆς λειτουργίας περιζώννυνται, δηλοῦντες διὰ τῆς ζώσεως τὴν καταστολὴν καὶ πίεσιν τῶν διαβεβλημένων ὀρέξεων, ὧν ἡ δύναμις καὶ ἐνέργεια ἀπὸ τῶν νεφρῶν προάγεται· ἔτι καὶ τὴν παρασκευὴν καὶ ἑτοιμασίαν πρὸς τὴν θείαν διακονίαν· οἱ γὰρ πρὸς ὑπηρεσίαν ἑτοιμαζόμενοι, ζώνῃ περιςέλλουσι τὸν σκεδασμὸν τῶν ἱματίων. Οὕτω καὶ ὁ Κύριος ἡμῶν λεντίῳ περιεζώσατο ἐν τῷ νίπτειν τοὺς πόδας τῶν μαθητῶν. Ἐφάνη δὲ ὡς ἱερεὺς, ποδήρη ἐνδεδυμένος καὶ ζώνῃ ἐζωσμένος, διότι κατὰ τὴν ἀνθρωπότητα ἐγένετο ἱερεὺς, προσάξας ἑαυτὸν τῷ Πα-

(1) Λευϊτ. κϛ', 12. Β' Κορ. ϛ', 16. (2) Ματθ. κη', 20.

τρὶ καὶ τῷ Πνεύματι θυσίαν ἀντίλυτρον ἡμῶν κατὰ τὴν ῥῆσιν τοῦ Θεοπάτορος Δαβίδ· «Σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ» (1), ἣν προςίθησι καὶ ὁ μακάριος Παῦλος, λέγων αὐτὸν γεγονέναι ἀρχιερέα καὶ Ἀπόςολον ἱερουργοῦντα ἑαυτόν (2). Ἡ δὲ ζώνη αὐτοῦ οὐ ποικιλτὴ, ὥσπερ ἦν ἡ τῶν ἱερέων τῆς νομικῆς λατρείας, ἀλλὰ ἐκ χρυσοῦ τοῦ τιμιωτέρου τῶν μετάλλων· διότι ἡ καθ' ἡμᾶς ἀληθὴς ἱερωσύνη πολὺ τιμιωτέρα ἐκείνης τῆς σκιώδους καὶ τυπικῆς. Ἐπεὶ δὲ ὁ Κύριος ἀναμαρτήτους ἔσχε τοὺς νεφροὺς καὶ ἀπηλλαγμένους τῶν σαρκικῶν ἐπιθυμιῶν, οὐχ ὡράθη ὡς οἱ λοιποὶ τῶν ἀνθρώπων ἐζωσμένος περὶ τὴν ὀσφὺν ἔνθα οἱ νεφροὶ, ἀλλὰ περιεζωσμένος πρὸς τοῖς μαστοῖς καὶ περὶ τὸ στῆθος ἔνθα ὁ θυμὸς, ὁ δικαίως κατὰ τῶν ἁμαρτανόντων ἐρεθιζόμενος, ὃν καὶ περιστέλλει τῇ εὐσπλαγχνίᾳ καὶ μακροθυμίᾳ αὐτοῦ· Ἔτι δὲ καὶ μαστοὺς δύο τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ νοητέον καὶ τὰς δύο Διαθήκας, τὰς τῷ πνευματικῷ γάλακτι ἡμᾶς θηλαζούσας καὶ τρεφούσας· ταύτας δὲ συνέχει τῇ ἀληθείᾳ καὶ τῇ δικαιοσύνῃ, καθά φησιν ὁ Προφήτης, ὅτι ἔσται περιεζωσμένος δικαιοσύνῃ καὶ εἰλημένος ἀληθείᾳ (3).

14 Η δὲ κεφαλὴ αὐτοῦ καὶ αἱ τρίχες λευκαὶ ὡσεὶ ἔριον λευκὸν, ὡς χιών· καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρός.

Η λευκότης τῶν τριχῶν ὑπεμφαίνει τὴν ἀρχαιότητα καὶ ἀϊδιότητα αὐτοῦ· προϋπάρχει γὰρ πάντων αἰώνων ὁ Θεός· διὸ καὶ Δανιὴλ ὁ Προφήτης παλαιὸν ἡμερῶν ἑώρακε τὸν Πατέρα. Ἀλλὰ καὶ ἡ εἰς Χριστὸν πίςις, εἰ καὶ μεταγενεστέρα ἐςὶν ἐνδείξει, ἀρχαία μέντοι ὑπάρχει τῇ τοῦ Θεοῦ εὐδοκίᾳ καὶ προνοίᾳ, ὥς φησι καὶ ὁ Ἀπόστολος, ὅτι ἐστὶ «Μυστήριον ἀποκεκρυμμένον ἀπὸ τῶν

---

(1) Ψαλμ. ρθ', 4. (2) Ἑβρ. γ', 1. (3) Ἠσ. ιά...

ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΓΕΝΟΥ

αἰώνων, νῦν δὲ φανερωθὲν τοῖς ἁγίοις αὐτοῦ» (1). Τὸ δὲ εἶναι τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡσεὶ φλόγα πυρὸς, σημαίνει ὅτι ὁ Χριςός ἐστι τὸ φῶς τοῦ κόσμου, καὶ ὅτι τὰ πάντα ἐφορᾷ καὶ διακρίνει ἐπὶ λεπτοῦ, ὥσπερ τὸ πῦρ διαχωρίζει εἰς λεπτότατα μόρια τὰ αὐτῷ ἐμβληθέντα, καὶ ὅτι ἀπειλεῖ τοῖς ἀμετανοήτοις κόλασιν πυρὸς ἀσβέστου.

15 Καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ, ὡς ἐν καμίνῳ πεπυρωμένοι, καὶ ἡ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδάτων πολλῶν.

Πόδες τοῦ Υἱοῦ τοῦ Θεοῦ εἰσιν ἡ ἀνθρωπότης αὐτοῦ· διὰ γὰρ τῆς ἀνθρωπότητος ἐπεφοίτησε τῇ γῇ, καὶ δι' αὐτῶν περιεπάτησε καὶ συνανεστράφη τοῖς ἀνθρώποις. Προσέτι πόδες αὐτοῦ εἰσιν οἱ θεμέλιοι τῆς Ἐκκλησίας, οἱ ἅγιοι Ἀπόστολοι· δι' αὐτῶν γὰρ περιεπάτησεν ἐν ὅλῳ τῷ κόσμῳ, ἐνοικῶν καὶ ἐνυπάρχων αὐτοῖς, τὴν οἰκουμένην περιερχομένοις, ἐνδυναμῶν αὐτοὺς καὶ τὸν λόγον βεβαιῶν διὰ τῶν θαυμάτων. Χαλκῷ δὲ παρεικάσθησαν διὰ τὸ ἠχητικὸν τῆς διδασκαλίας τοῦ Εὐαγγελίου· εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν. Ὡς ἐν καμίνῳ δὲ πεπυρωμένοι, διότι ἐπυρώθησαν τῷ πυρὶ τῶν βασάνων καὶ τῶν θλίψεων ἐν τῇ καμίνῳ τῶν πολυειδῶν πειρατηρίων. Ἡ δὲ φωνὴ αὐτοῦ ὡς φωνὴ ὑδάτων πολλῶν· ἡ γὰρ διδασκαλία οὐχ ἔστι μιᾶς ὑποστάσεως, ἀλλὰ κοινὴ τῶν τριῶν, Πατρὸς Υἱοῦ τε καὶ ἁγίου Πνεύματος τοῦ ἑνὸς Θεοῦ, οὗ τὰ χαρισματά εἰσιν ὡς ποταμοὶ ῥέοντες, καθὰ προεῖπεν ὁ Προφήτης· «Ποταμὸς ἐξελεύσεται ἐξ οἴκου Κυρίου καὶ ποτιεῖ τὸν χειμάρρουν τῶν σχοίνων» (2)· οἶκον Θεοῦ ὀνομάζων τοὺς δικαίους· τοὺς καθαρίσαντας ἑαυτοὺς ταῖς ἀρεταῖς καὶ χρη-

---

(1) Κολ. ά, 26. (2) Ἰωὴλ γ', 18.

ματίσαντας κατοικητήρια καὶ ναοὶ Θεοῦ, καὶ σῶμα αὐτοῦ καὶ μέλη ἐκ μέρους, ὧν ἐκ τῆς κοιλίας ῥέουσι ποταμοὶ ὕδατος ζῶντος.

16 Καὶ ἔχων ἐν τῇ δεξιᾷ αὐτοῦ χειρὶ ἀστέρας ἑπτά· καὶ ἐκ τοῦ στόματος αὐτοῦ ῥομφαία δίστομος ὀξεῖα ἐκπορευομένη· καὶ ἡ ὄψις αὐτοῦ, ὡς ὁ ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ.

Ἑπτὰ ἀστέρες εἰσὶν οἱ ἄγγελοι, οἱ φύλακες καὶ προστάται τῶν ἐκκλησιῶν, οἵτινες ἀστέρες λέγονται, ὅτι ὥσπερ οἱ ἀστέρες μεταλαμβάνουσι τοῦ φωτὸς ἀπὸ τοῦ ἡλίου, οὕτω καὶ οἱ ἄγγελοι φωτεινοί εἰσι, τὸ φῶς λαμβάνοντες ἀπὸ τοῦ ἡλίου τῆς δικαιοσύνης Χριστοῦ, ὅς ἐστι τὸ φῶς τὸ ἀληθινόν· οὗτοι δὲ ἐν τῇ δεξιᾷ εἰσι τοῦ Χριστοῦ, ὅτι ἐν τιμίᾳ τάξει καὶ ἀξίᾳ καὶ δεξιότητι ὑπάρχουσιν. Ἡ δὲ ῥομφαία ὀξεῖα ἐκπορευομένη ἐκ τοῦ στόματος αὐτοῦ, ἐστὶν ὁ λόγος τοῦ Θεοῦ, ὁ ἐνεργὴς καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, ὥς φησιν ὁ Ἀπόστολος (1). Καὶ ταύτην τὴν ῥομφαίαν, ὁ μὲν Δαβὶδ λέγει περιεζωσμένην εἶναι περὶ τὴν ὀσφῦν καὶ ἐπὶ τὸν μηρὸν τοῦ Θεοῦ, καὶ οὐκ ἔξω τοῦ κολεοῦ, μηδὲ κινουμένην κατὰ τῶν πολεμίων, ὅπερ δηλοῖ τὴν ἀνοχὴν καὶ τὴν μακροθυμίαν· ἐν γὰρ ταῖς ἡμέραις τοῦ Δαβὶδ οὔπω κεκήρυκται τὸ τοῦ Χριστοῦ Εὐαγγέλιον, οὐδὲ ἦσαν οἱ τούτου τὰ δικαιώματα παραβαίνοντες, ἵνα ταχύνειεν τὸν θυμὸν τῆς ἐκδικήσεως· ὁ δὲ Ἰωάννης ἑώρακε ταύτην τὴν ῥομφαίαν, ἐκπορευομένην ἐκ τοῦ στόματος, ὑπεμφαίνοντος τοῦ λόγου ἐγγυτέραν γενομένην τὴν ἐκδίκησιν τοῖς παραβάταις τῶν ἐντολῶν τοῦ Θεοῦ. Ἡ δὲ ὄψις αὐτοῦ ὡς ὁ ἥλιος φαίνει ἐν τῇ δυνάμει αὐτοῦ· αὐτὸς γάρ ἐστιν ὁ ἥλιος τῆς δικαιοσύνης κατὰ τὸν προφήτην Μαλαχίαν (2). Τὸ δὲ, ὡς, ὁμοιωματικὸν μόριον, ὑπαινίττεται, ὅτι τὸ φῶς αὐτοῦ οὐ-

(1) Ἑβρ. δ', 12. (2) Μαλαχ. δ', 2.

κατὰ τὸν ἥλιον τὸν αἰσθητόν ἐστιν, ἀλλὰ καθ' ὑπερβολὴν λαμπρότητος· διὸ καὶ προσέθηκε, τῇ δυνάμει αὐτοῦ.

17 Καὶ ὅτε εἶδον αὐτὸν, ἔπεσα πρὸς τοὺς πόδας
αὐτοῦ ὡς νεκρός· καὶ ἔθηκε τὴν δεξιὰν αὐτοῦ ἐπ' ἐμὲ,
λέγων μοι, μὴ φοβοῦ· ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ
ἔσχατος·
18 Καὶ ὁ ζῶν, καὶ ἐγενόμην νεκρὸς, καὶ ἰδοὺ
ζῶν εἰμὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. Καὶ
ἔχω τὰς κλεῖς τοῦ θανάτου καὶ τοῦ ᾅδου.

Πίπτουσι καὶ καταφέρονται φόβῳ εἰς γῆν οἱ ἅγιοι ἐν ταῖς θείαις ὁράσεσιν, ὥσπερ Μωϋσῆς ἐν τῷ Χωρὴβ, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐν Ἱεριχῷ θεασάμενος τὸν Ἄγγελον, καὶ Δανιὴλ ὁ Προφήτης τὰς ὁράσεις ἀποκαλυπτόμενος, καὶ οἱ Ἀπόστολοι ἐν τῷ Θαβώρ· διὸ καὶ ὁ παρὼν Εὐαγγελιστὴς ἔπεσε πρὸς τοὺς πόδας· ἡ γὰρ ἀνθρωπότης ἀσθενὴς οὖσα, παραβαλλομένη τοῖς θείοις, οὐ δύναται ἀντοφθαλμεῖν. εἰμὴ γὰρ θεία ἐπικουρία τούτων ἀντελαμβάνετο δι' ὑπερβολὴν ἀγαθότητος, οὐκ ἂν ἴσχυον οὐδὲ ἐν τῷ παρόντι οὐδὲ ἐν τῷ μέλλοντι τὴν τοῦ Θεοῦ δόξαν τε καὶ λαμπρότητα κατοπτεῦσαι, καὶ τῆς μακαριότητος ἀπολαῦσαι, ἥτις ἀπείρῳ τῷ μέτρῳ ὑπερβαίνει τὴν δύναμιν καὶ ἀξιότητα τοῦ ἀνθρώπȣ. Καὶ προσέτι διὰ τούτου δείκνυται, ὅτι ἡ δεξιὰ τοῦ Ὑψίστου ἀντιλαμβανομένη ῥώννυσι τοὺς δικαίους, ὥσπερ καὶ τὸν παρόντα Εὐαγγελιστὴν ἐνεδυνάμωσεν ἁψαμένη αὐτοῦ, πρὸς ὃν καὶ εἶπε· μὴ φοβοῦ· ἐγώ εἰμι ὁ πρῶτος καὶ ὁ ἔσχατος. Πρῶτον μὲν ὀνομάζων ἑαυτὸν ὡς Θεόν· προϋπάρχει γὰρ πάντων τῶν αἰώνων κατὰ τὴν θεότητα, καὶ τὴν ἐκ τοῦ Πατρὸς προαιώνιον γέννησιν· ἔσχατον δὲ, διά τε τὸ ἀτελεύτητον καὶ διὰ τὴν ἐπ' ἐσχάτων τῶν καιρῶν

ἐνανθρώπησιν αὐτοῦ, προσθείς· καὶ ὁ ζῶν, καὶ ἐγενόμην νεκρὸς, καὶ ἰδοὺ ζῶν εἰμι εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ὡσεὶ ἔλεγε, μὴ φοβοῦ θάνατον, ὦ Ἰωάννη· ἐγὼ γὰρ ὁ ζῶν, καὶ πηγὴ ζωῆς ὑπάρχων κατὰ τὴν θεότητα, κατεδεξάμην θάνατον κατὰ τὴν ἀνθρωπότητα, ἵνα παράσχω ζωὴν αἰώνιον τοῖς εἰς ἐμὲ πιστεύουσιν, ἀλλὰ καὶ τῇ θεϊκῇ μου δυνάμει ἀνέστην, καὶ ἰδοὺ ζῶν εἰμι, ὡς ὁρᾷς, καὶ ἡ ζωή μου οὐ διακόπτεται θανάτῳ, ὥσπερ οἱ ἐκ νεκρῶν ἀναστάντες, καὶ αὖθις θανόντες, ἀλλὰ ζῶν εἰς τοὺς αἰῶνας. Τὸ δὲ, ἔχω τὰς κλεῖς τοῦ θανάτου καὶ τοῦ ᾅδου, δηλοῖ, τὸ ἔχω ἐξουσίαν ἀνάγειν ἐκ τοῦ ᾅδου, καὶ ῥύεσθαι ἐκ θανάτου κατὰ τὸν Προφήτην· «Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει» (1).

19 Γράψον ἃ εἶδες, καὶ ἅ εἰσι, καὶ ἃ μέλλει γίνεσθαι μετὰ ταῦτα.

Τῶν ἀποκαλυφθέντων τῷ θείῳ τούτῳ Εὐαγγελιστῇ πολλὰ παρῴχηκεν, οὐ μέντοι εἰς ἀνυπαρξίαν ἐχώρησε, διὰ τοῦτο λέγει, ἅ εἰσι.

20 Τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων ὧν εἶδες ἐπὶ τῆς δεξιᾶς μου, καὶ τὰς ἑπτὰ λυχνίας τὰς χρυσᾶς· οἱ ἑπτὰ ἀστέρες ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσι· καὶ αἱ ἑπτὰ λυχνίαι ἃς εἶδες, ἑπτὰ ἐκκλησίαι εἰσί.

Αἱ ἅγιαι ἐκκλησίαι τοῦ Χριστοῦ λυχνίαις μὲν παρεικάσθησαν, ὡς ὄχημα τοῦ θείου φωτὸς ὑπάρχουσαι, καὶ τὸν φωτι-

(1) Α΄ Βασιλ. β΄, 6.

σμὸν τοῖς προσερχομένοις παρέχουσαι· χρυσαῖς δὲ, διὰ τὸ τίμιον καὶ καθαρὸν καὶ τὸ ἀπὸ τῶν αἱρέσεων ἀκηλίδωτον· ἑπτὰ δὲ, διὰ τὸ ἐν τῷ ἑβδομαδικῷ τούτῳ αἰῶνι ὑπάρχειν, ὧν καὶ οἱ προστάται καὶ ἔφοροι ἄγγελοι ἄστρασιν ὁμοιώθησαν, ὡς ἐκ τοῦ νοητοῦ ἡλίου τὸν φωτισμὸν μεταλαμβάνοντες, ὡς προείπομεν· καὶ τὸ ἐν τῇ δεξιᾷ εἶναι τοῦ θεανθρώπου Λόγου, διὰ τὴν δεξιότητα τῆς τιμῆς καὶ τῆς ἀξίας.

## ΚΕΦΑΛΑΙΟΝ Β΄.

1 Τῷ ἀγγέλῳ τῆς Ἐφεσινῆς ἐκκλησίας γράψον· Τάδε λέγει ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, ὁ περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν.

Ὁ ἀσώματος ἄγγελος, ὁ ἐν τῇ δεξιᾷ κατεχόμενος τοῦ Κυρίου, καὶ ὡς ἀστὴρ ἐξαστράπτων διὰ τὴν καθαρότητα τῆς φύσεως καὶ ἁγιότητα αὐτοῦ, τί ἥμαρτεν, ὥστε δεηθῆναι τοῦ ἑξῆς ῥηθησομένου, μετανόησον; καὶ τίς χρεία γραφῆς καὶ ἐπιστολῆς τῷ ἐν χερσὶν ὑπάρχοντι τοῦ λαλοῦντος, νοερῷ τε ὄντι καὶ ἀκοῆς μὴ δεομένῳ; Νοητέον τοίνυν ἄγγελον τῆς Ἐφεσινῆς ἐκκλησίας, οὐ τὸν προστάτην καὶ ἔφορον ταύτης ἄγγελον, ἀλλὰ τὸ σύστημα τῶν ἐν Ἐφέσῳ Χριστιανῶν, ὥσπερ καὶ ὁ παρὼν Εὐαγγελιστὴς προϊὼν ἐρεῖ· Ἀκούσατε τί λέγει τὸ Πνεῦμα τὸ ἅγιον ταῖς ἐκκλησίαις· καὶ οὐ λέγει τῷ ἀγγέλῳ. Ὅθεν ἐν τούτῳ τῷ κεφαλαίῳ, ὅπου λέγει ἄγγελον, ἐννόησον τὴν τῶν Χριστιανῶν ἐκκλησίαν· διδάσκει γὰρ ὁ λόγος τοὺς μαθητὰς τὰ δέοντα διὰ τοῦ ἀγγέλου τοῦ διδασκάλου καὶ προστάτου αὐτῶν· ὁ γὰρ προστάτης οἰκειοῦται τὰς

τῶν προστατευομένων ἀρετάς τε καὶ κακίας. Τὸ δὲ ὁ κρατῶν τοὺς ἑπτὰ ἀστέρας ἐν τῇ δεξιᾷ αὐτοῦ, καὶ ὁ περιπατῶν ἐν μέσῳ τῶν ἑπτὰ λυχνιῶν τῶν χρυσῶν, ἀντὶ τοῦ, ὁ κρατῶν τὴν διακόσμησιν τοῦ παντὸς, καὶ διοικῶν τὸ πᾶν, ἀγγέλυς τε καὶ ἀνθρώπους· «Οὗ ἐν τῇ χειρὶ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων» (1), ὁ καὶ ἐπαγγελόμενος ἐνοικεῖν καὶ ἐμπεριπατεῖν ἐν τοῖς εὐσεβέσιν.

2 Οἶδα τὰ ἔργα σου καὶ τὸν κόπον σου καὶ τὴν ὑπομονήν σου, καὶ ὅτι οὐ δύνῃ βαστάσαι κακοὺς, καὶ ἐπείρασας τοὺς λέγοντας εἶναι ἀποστόλους, καὶ οὐκ εἰσὶ, καὶ εὗρες αὐτοὺς ψευδεῖς.

3 Καὶ ἐβάστασας, καὶ ὑπομονὴν ἔχεις, καὶ διὰ τὸ ὄνομά μου κεκοπίακας, καὶ οὐ κέκμηκας.

Ἐγὼ ὁ πλάσας κατὰ μόνας τὰς καρδίας, καὶ συνιὼν ἐπὶ πάντα τὰ ἔργα τῶν ἀνθρώπων, οἶδα καὶ ὅτι ἐκοπιάσατε καὶ ἠγωνίσθητε, καὶ ὑπεμείνατε θλίψεις πολλὰς ὑπὸ τῶν ἐναντίων διὰ τὸ ὄνομά μου, καὶ οὐκ ἐβαρύνθητε οὐδὲ ἐγογγύσατε· Καὶ ὅτι οὐ πιστεύετε παντὶ πνεύματι, ἀλλὰ δοκιμάζετε τὰ πνεύματα, τουτέςι, τοὺς λέγοντας ἔχειν πνεῦμα διδασκαλίας καὶ εὐαγγελίου, καὶ διακρίνετε τοὺς ψεύστας καὶ πλάνους, καὶ οὐκ ἐκινήθητε εἰς ἄμυναν καὶ βλάβην τῶν πολεμίων ὑμῶν· καὶ ταῦτα μὲν ἀγαπητὰ καὶ θεάρεστα.

4 Ἀλλ' ἔχω κατὰ σοῦ, ὅτι τὴν ἀγάπην σου τὴν πρώτην ἀφῆκας.

5 Μνημόνευε οὖν πόθεν ἐκπέπτωκας, καὶ μετα-

(1) Ψαλμ. ϥδʹ, 4.

νόησον, καὶ τὰ πρῶτα ἔργα ποίησον· εἰ δὲ μὴ ἔρχομαί σοι ταχὺ, καὶ κινήσω τὴν λυχνίαν σου ἐκ τοῦ τόπου αὐτῆς, ἐὰν μὴ μετανοήσῃς.

Οἱ Ἐφέσιοι πρότερον μὲν ἦσαν φιλόπτωχοι καὶ ἐλεήμονες, ὕστερον δὲ ἠμέλησαν τούτου τοῦ θεαρέστου ἔργου· διὸ καὶ μέμφεται αὐτοὺς καὶ ὀνειδίζει, ἐντρέπων αὐτοὺς ἐπιστρέψαι εἰς ὃ ἀπώσαντο, οὗ καὶ ἐξέπεσον. Τὸ δὲ ἔρχομαί σοι ταχὺ, οὐ τοπικὴν μετάβασιν δηλοῖ· ὁ γὰρ Θεὸς πανταχοῦ πάρεστιν, ἀλλ' ὅτι οὐκέτι μακροθυμήσει, οὐδὲ ἀναβαλεῖ τὴν παίδευσιν αὐτῶν. Τὸ δὲ μετακινήσω τὴν λυχνίαν σου, ἐὰν μὴ μετανοήσῃς, ἀντὶ τοῦ, ἀποστήσω τὴν χάριν μου ἀπὸ σοῦ. Τινὲς δέ φασι τοῦτο προδηλοῦν τὴν μετάστασιν τῆς ἀρχιερατικῆς προεδρίας τοῦ θρόνου τῆς Ἐφέσου ὑπὸ τὸν θρόνον Κωνσταντινουπόλεως.

6 Ἀλλὰ τοῦτο ἔχεις, ὅτι μισεῖς τὰ ἔργα τῶν Νικολαϊτῶν, ἃ κἀγὼ μισῶ.

Νικόλαος ὁ Ἀντιοχεὺς ὁ προσήλυτος εἷς ἦν τῶν ἑπτὰ διακόνων, οὓς ἐξελέξαντο οἱ Ἀπόστολοι διακονεῖν τραπέζαις. Οὗτος ἐγένετο ἀποτροπαίων δογμάτων καὶ αἰσχρουργιῶν εἰσηγητής.

7 Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἐκ τοῦ ξύλου τῆς ζωῆς, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου τοῦ Θεοῦ.

Οὖς ὀνομάζει ἐνταῦθα τὴν σύνεσιν τῶν πνευματικῶν, καὶ τὴν τῶν θείων λόγων ὑπακοὴν, καὶ τὴν πρᾶξιν τῶν ἀρετῶν· τὸ δὲ, τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις, σημαίνει ὅτι τὰ ἐν τῇ ἀπο-

καλύψει λεγόμενά τε καὶ δρώμενα, πάντα πνευματικά ἐστι, καὶ οὐ σωματικά. Ἀλλὰ καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, καθὸ Θεὸς, λέγεται πνεῦμα, ὡς αὐτὸς εἶπε τῇ Σαμαρείτιδι· Πνεῦμα ὁ Θεός. Τῷ δὲ νικῶντι τὸν πόλεμον τοῦ διαβόλου δίδωσιν ὁ Θεὸς φαγεῖν ἀπὸ τοῦ ξύλου τῆς ζωῆς, τοῦ ἐν μέσῳ τοῦ παραδείσου, τουτέστι τὴν ἀπόλαυσιν τῆς αἰωνίου ζωῆς ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ.

8 Καὶ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας Σμυρναίων γράψον· Τάδε λέγει ὁ πρῶτος καὶ ὁ ἔσχατος, ὃς ἐγένετο νεκρὸς καὶ ἔζησεν.

Ὁ Κύριος ἡμῶν κατὰ μὲν τὴν θεότητα ἐστὶ πρῶτος καὶ ἄναρχος· κατὰ δὲ τὴν ἀνθρωπότητα λέγεται ἔσχατος· ἐν ἐσχάτοις γὰρ καιροῖς ἐνηνθρώπησε, καὶ κατεδέξατο εἰς τὴν ἀνθρωπότητα αὐτοῦ θάνατον ὑπὲρ ἡμῶν· ἀνεβίω δὲ ἀναστὰς ἐκ τῶν νεκρῶν.

9 Οἶδά σου τὰ ἔργα καὶ τὴν θλίψιν καὶ τὴν πτωχείαν, (ἀλλὰ πλούσιος εἶ), καὶ τὴν βλασφημίαν τῶν λεγόντων Ἰουδαίους εἶναι ἑαυτοὺς, καὶ οὐκ εἰσὶν, ἀλλὰ συναγωγὴ τοῦ Σατανᾶ.

10 Μηδὲν φοβοῦ ἃ μέλλεις πάσχειν· ἰδοὺ μέλλει βαλεῖν ἐξ ὑμῶν ὁ διάβολος εἰς φυλακὴν, ἵνα πειρασθῆτε· καὶ ἕξετε θλίψιν ἡμερῶν δέκα. Γίνου πιστὸς ἄχρι θανάτου, καὶ δώσω σοι τὸν στέφανον τῆς ζωῆς.

Πάντα μὲν οἶδεν ὁ πάντων γνώστης Θεός, τὰ δὲ καλὰ ἔργα μόνον γινώσκειν λέγεται, ὡς ἀρεστὰ αὐτῷ· διὸ λέγει οἶδά σου τὰ

ἔργα, ἤτοι τὰς ἀρετὰς καὶ τὴν θλίψιν καὶ τὴν πτωχείαν, ἣν ἐδοκίμασας ἀπὸ τῆς ἐπιβȣλῆς καὶ τοῦ διωγμοῦ τῶν λεγομένων ἑαυτȣ̀ς Ἰȣδαίȣς, τȣτέςιν ἐξομολογουμένȣς τῷ Θεῷ, μὴ ὄντας δὲ τοιούτȣς, ἀλλὰ ὀπαδȣ̀ς τοῦ διαβόλȣ, τοῦ συναγαγόντος αὐτȣ̀ς εἰς συμβούλιον κατὰ τοῦ Χριστοῦ καὶ κατὰ τῶν πιστευόντων εἰς αὐτὸν, ἀγομένους τοῖς θελήμασιν αὐτοῦ. Προλέγει δὲ αὐτοῖς, καὶ ὅτι φυλακώσουσιν ἐξ αὐτῶν, καὶ θλίψουσιν αὐτούς· καὶ ὅτι ἡ κάκωσις αὐτῶν οὐ παρατενεῖται πλεῖον τῶν δέκα ἡμερῶν· καὶ ὅτι οἱ διὰ Χριστὸν πτωχεύοντες πλούσιοί εἰσιν, ὡς κεχρυμμένον ἐν τῷ ἀγρῷ τῆς καρδίας αὐτῶν Χριςὸν τὸν θησαυρὸν τῶν ἀγαθῶν ἔχοντες, καὶ ὅτι ὁ ὑπομείνας εἰς τέλος, οὗτος λήψεται τὸν στέφανον τῆς ζωῆς.

11 Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· ὁ νικῶν οὐ μὴ ἀδικηθῇ ἐκ τοῦ θανάτου τοῦ δευτέρου.

Δύο εἰσὶν οἱ θάνατοι, ὧν ὁ μὲν φυσικὸς, ὅς ἐστι χωρισμὸς τῆς ψυχῆς ἀπὸ τοῦ σώματος κατὰ τὴν δικαίαν ἀπόφασιν τοῦ πάντων δεσπόζοντος, εἰπόντος· «Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ» (1)· τοῦτον πάντες θνήσκουσι δίκαιοί τε καὶ ἁμαρτωλοί. Ὁ δὲ δεύτερος θάνατος, ὁ ἐκ τῆς ἁμαρτίας προξενούμενος τοῖς τὴν ἐμπαθῆ διώκουσι ζωὴν, οὗτός ἐστι χωρισμὸς τοῦ Θεοῦ ἀπὸ τῆς ἁμαρτανούσης ψυχῆς, τῆς ἐκζητούσης τὰς σαρκικὰς ἐπιθυμίας, περὶ οὗ εἴρηκε καὶ ὁ Κύριος· «Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς» (2). Ἀπὸ τούτου τοῦ δευτέρου θανάτου οὐκ ἀδικηθήσονται οἱ ἀκούοντες τὸν λόγον τοῦ Θεοῦ, καὶ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

12 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Περγάμῳ ἐκκλησίας

(1) Γεν. γ', 19. (2) Ματθ. ή, 22.

γράψον· Τάδε λέγει ὁ ἔχων τὴν ῥομφαίαν τὴν δίστομον τὴν ὀξεῖαν.

13 Οἶδα τὰ ἔργα σου, καὶ ποῦ κατοικεῖς, ὅπου ὁ θρόνος τοῦ Σανανᾶ, καὶ κρατεῖς τὸ ὄνομά μου, καὶ οὐκ ἠρνήσω τὴν πίςιν μου, καὶ ἐν ταῖς ἡμέραις ἐν αἷς Ἀντίπας ὁ μάρτυς μου ὁ πιστὸς, ὃς ἀπεκτάνθη παρ᾽ ὑμῖν, ὅπου κατοικεῖ ὁ σατανᾶς.

Μάχαιρα ὀξεῖά ἐστιν ἡ εὐαγγελικὴ διδασκαλία, ἡ ἐκπορευομένη ἐκ τοῦ στόματος τοῦ Κυρίȣ ἡμῶν· αὕτη γὰρ ἀποτέμνει τὸ περιττὸν τούτου τοῦ κόσμου, καὶ διακόπτει τὸ παραπέτασμα τὸ κωλῦον τὴν θεωρίαν τῶν οὐρανίων. Ἔτι δὲ ποιεῖ καὶ τὴν ἐκδίκησιν τὴν κατὰ τῶν ἁμαρτανόντων, ἥτις καὶ δίστομος καὶ ὀξεῖά ἐστιν· ἀπότομος γὰρ καὶ ταχίστη. Ἐκάλεσε δὲ τὴν Πέργαμον θρόνον τοῦ σατανᾶ· ἦν γὰρ κατείδωλος πλεῖον πασῶν τῶν ἐν τῇ Ἀσίᾳ πόλεων. Ἐκεῖ καὶ ὁ ἅγιος μάρτυς Ἀντίπας ἤθλησε· διὸ καὶ τοὺς ἐν αὐτῇ εὐσεβεῖς ἐπαινεῖ, ὅτι ἐφύλαξαν τὴν πίστιν ἀλώβητον, καί τοι κατοικοῦντες μέσον ἀσεβῶν καὶ πονηρῶν.

14 Ἀλλ᾽ ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι ἔχεις ἐκεῖ κρατοῦντας τὴν διδαχὴν Βαλαὰμ, ὃς ἐδίδασκεν ἐν τῷ Βαλὰκ βαλεῖν σκάνδαλον ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ, φαγεῖν εἰδωλόθυτα καὶ πορνεῦσαι.

Ἰώσηπος ὁ Ἑβραῖος ἐν τῇ ἱστορίᾳ αὐτοῦ διηγεῖται, ὅτι Βαλαὰμ υἱὸς Βοσὸρ, παρακληθεὶς καὶ λαβὼν δῶρα πολλὰ παρὰ τοῦ Βαλὰκ βασιλέως, ἵνα ἐκ καρδίας καταράσηται τῶν Ἰσραηλιτῶν, οὐκ ἠδυνήθη καταρᾶσθαι, κωλυόμενος ὑπὸ θείας δυνάμεως,

μᾶλλον δὲ ἐπηύξατο αὐτοῖς κράτος καὶ δύναμιν, ὡς γέγραπται ἐν τῇ βίβλῳ τῶν Ἀριθμῶν (1)· ὅμως εὐαρεστῆσαι βουλόμενος τῷ Βαλὰκ, συνεβούλευσεν αὐτῷ παραθεῖναι εἰδωλόθυτα, καὶ παραστῆσαι αὐτοῖς γυναῖκας, ὡς ἂν τρυφῆς κορεσθέντες, καὶ ὑπὸ πλησμονῆς εἰς ἀφροδίσια ὑποσυρέντες, καὶ τοῦ Θεοῦ ἀποστάντες, εὐάλωτοι γένοιντο (2), ὅπερ καὶ ἐγένετο, ὅτε Φινεὲς ὁ μακάριος τὸ ἀοίδιμον ἐτέλεσε κατόρθωμα, ἐκκεντήσας τὸν Ζαμβρῆν ἐν τῷ συγγίνεσθαι τῇ εἰδωλολάτρῳ γυναικὶ, καὶ ἐν τούτῳ τῷ ἔργῳ ἐξιλεωσάμενος τὸν Θεὸν, ἀπέστησε τὴν ὀργὴν αὐτοῦ ἀπὸ τῶν υἱῶν Ἰσραήλ. Κατὰ ταῦτα καὶ οἱ τοῦ Νικολάου ὀπαδοὶ ἐποίουν, τῶν ἀπηγορευμένων βρωμάτων γεύσασθαι διδάσκοντες. Ἐλέγχει οὖν τοὺς εὐσεβεῖς, ὡς συναυλιζομένους τοῖς πονηροῖς.

15 Οὕτως ἔχεις καὶ σὺ κρατοῦντας τὴν διδαχὴν τῶν Νικολαϊτῶν ὁμοίως.

16 Μετανόησον· εἰ δὲ μὴ, ἔρχομαί σοι ταχύ· καὶ πολεμήσω μετ' αὐτῶν ἐν τῇ ῥομφαίᾳ τοῦ στόματός μου.

17 Ὁ ἔχων οὖς, ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις· Τῷ νικῶντι δώσω αὐτῷ φαγεῖν ἀπὸ τοῦ μάννα τοῦ κεκρυμμένου, καὶ δώσω αὐτῷ ψῆφον λευκὴν, καὶ ἐπὶ τὴν ψῆφον ὄνομα καινὸν γεγραμμένον, ὃ οὐδεὶς ἔγνω εἰμὴ ὁ λαμβάνων.

Οἱ τῇ τῶν ὀπαδῶν τοῦ Νικολάου εἰσηγήσει πειθόμενοι, καὶ τῶν ἀπὸ τοῦ νόμου ἀπηγορευμένων διὰ λαιμαργίας γευόμενοι,

(1) Ἀριθμ. κδ'. (2) Ἰωσηπ. Ἰουδ. ἀρχ. δ', 6.

οὗτοι κατάρας τῆς ἀπὸ Θεοῦ ὑπόδικοι, καὶ τῆς τοῦ Βαλαὰμ καὶ Νικολάου καταδίκης ὑπεύθυνοι ἐγένοντο. Οἱ δὲ τὰς νενομισμένας νηστείας φυλάσσοντες, καὶ εὐλαβῶς ἐγκρατευόμενοι, οὗτοι ἀπολαμβάνουσι τῆς γεύσεως τοῦ οὐρανοφοίτου νοητοῦ μάννα, τοῦ σώματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅς ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ. Ἔτι μάννα λέγεται καὶ πάντα τὰ οὐράνια ἀγαθὰ, τὰ ἡτοιμασμένα τοῖς δικαίοις· οὗτοι ἀξιοῦνται καὶ τῆς ψήφου τῆς λευκῆς, ἤτοι τῆς ὑπερλάμπρου δόξης τοῦ Θεοῦ. Ταῦτα δὲ πάντα ἐν μὲν τῷ παρόντι βίῳ κεκρυμμένα εἰσὶν ἐν συμβόλοις καὶ αἰνίγμασι· ταῦτα γὰρ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτὸν κατὰ τὸν Ἀπόστολον. Τούτων οὐδὲ τὸ ὄνομά τις γινώσκει, εἰ μὴ ὁ λαμβάνων· ᾧ γὰρ δέδοται τὸ χάρισμα, τούτῳ ἐπακολουθεῖ καὶ ἡ αἴσθησις τούτου καὶ ἡ κατάληψις· ᾧ δὲ οὐ δέδοται, τούτῳ οὐδὲ γνῶσις τῆς οὐσίας ἐστὶν οὐδὲ τοῦ ὀνόματος.

18 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Θυατείροις ἐκκλησίας γράψον· Τάδε λέγει ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ ἔχων τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς φλόγα πυρὸς, καὶ οἱ πόδες αὐτοῦ ὅμοιοι χαλκολιβάνῳ.

Οἱ μὲν ὀφθαλμοὶ αὐτοῦ ὡσεὶ φλόγα πυρός· διότι φωτίζουσι τοὺς δικαίους, καὶ φλέγουσι τοὺς ἁμαρτωλούς· οἱ δὲ πόδες αὐτοῦ σημαίνουσι τὴν διὰ τῆς ἐνανθρωπήσεως συγκατάβασιν, καὶ τὴν μετὰ ἀνθρώπων ἐπὶ γῆς ἐμπεριπάτησιν. Ἔτι δὲ σημαίνει καὶ τὰς δύο φύσεις αὐτοῦ, τήν τε θεότητα καὶ τὴν ἀνθρωπότητα, ἀμιγεῖς ἀλλήλαις οὔσας, ἐν αἷς τοῖς ἀνθρώποις συνανεστράφη. Διὰ δὲ τοῦ εἰπεῖν, ὁ Υἱὸς τοῦ Θεοῦ, ἀριδηλότερον ἑαυτὸν ἐτράνωσεν.

19 Οἶδά σου τὰ ἔργα, καὶ τὴν ἀγάπην, καὶ τὴν

διακονίαν, καὶ τὴν πίστιν, καὶ τὴν ὑπομονήν σου, καὶ τὰ ἔργα σου, καὶ τὰ ἔσχατα πλείονα τῶν πρώτων.

Πάσας μὲν τὰς πράξεις, εἴτε ἀγαθὰς εἴτε πονηρὰς, γινώσκει ὁ πάντων γνώστης Θεός· λέγεται μέν τοι γινώσκειν τὰς ἀγαθὰς πράξεις, τῆς γνώσεως ἐνταῦθα σημαινούσης τὴν οἰκειότητα καὶ τὴν εὐαρέστησιν καὶ τὴν συνάφειαν· ἡ γὰρ γνῶσίς ἐστι συνάφεια τοῦ γινώσκοντος καὶ γινωσκομένου· διὸ εἴρηται τῷ Μωϋσῇ· «Ἔγνων σε παρὰ πάντας» (1), ἀντὶ τοῦ ᾠκειώθης μοι καὶ εὐδόκησα ἐν σοὶ, καθὸ καὶ γέγραπται· «Οἶδε Κύριος τοὺς ὄντας αὐτοῦ» (2). Ὅθεν καὶ ἐνταῦθα ἔργα ἐννοεῖ τὰς ἀγαθὰς τῶν ἐν Θυατείροις πράξεις, ἐν αἷς εὐαρεστεῖται ὁ Θεὸς, ὧν αἱ μὲν τῷ Θεῷ ἀφιέρωνται, οἷον ἡ ἀγάπη καὶ ἡ πίστις· αἱ δὲ τοῖς πτωχοῖς, οἷον ἡ διακονία, τουτέστιν ἡ εὐεργεσία καὶ ἡ τοῖς δεομένοις ἐπικουρία· α δὲ σφίσιν αὐτοῖς, οἷον ἡ ὑπομονὴ, καὶ τὰ ἔργα τὰ προξενοῦντα τοῖς ἔχουσι τὴν οὐράνιον βασιλείαν· ἐφ' αἷς πράξεσιν ἐπὶ τὸ μᾶλλον καὶ τὸ βέλτιον προέκοπτον· διὸ λέγει τὰ ἔσχατα πλείονα τῶν πρώτων.

20 Ἀλλ' ἔχω κατὰ σοῦ ὀλίγα, ὅτι ἐᾷς τὴν γυναῖκα Ἰεζάβελ, τὴν λέγουσαν ἑαυτὴν Προφῆτιν, διδάσκειν, καὶ πλανᾶσθαι ἐμοὺς δούλους, πορνεῦσαι καὶ εἰδωλόθυτα φαγεῖν.

Ἰεζάβελ ὀνομάζει τοὺς αἱρεσιώτας τῶν Νικολαϊτῶν, ὁμοιωθέντας ἐκείνῃ κατὰ τὴν ἀσέβειαν καὶ τὴν ἀσέλγειαν· καὶ ὀνειδίζει τοὺς ἐν Θυατείροις, ὡς μὴ ἀπαλλοτριοῦντας αὐτοὺς τοῦ Χριστια-

(1) Ἐξοδ. λγ΄, 17. (2) Β΄ Τιμ. β΄, 19.

νικοῦ ὀνόματος, ἀλλὰ προσαγορεύοντας Χριςιανὲς αὐτὲς, καὶ τῷ τοιούτῳ ὀνόματι ἀπατῶντας τὲς δούλες τοῦ Θεοῦ, καὶ ἀποκλίνοντας αὐτοὺς εἰς τὴν ἐκείνων πλάνην, πορνεῦσαι καὶ εἰδωλόθυτα φαγεῖν.

21 Καὶ ἔδωκα αὐτῇ χρόνον, ἵνα μετανοήσῃ ἐκ τῆς πορνείας αὐτῆς, καὶ οὐ μετενόησεν.

Ἐνταῦθα δηλοῦται τὸ δαψιλὲς τοῦ Θεοῦ ἔλεος, καὶ ἡ περὶ τοὺς ἀνθρώπους φιλανθρωπία, δι᾽ ἣν μακροθυμεῖ, καὶ οὐ ταχύνει τὴν τῶν ἁμαρτωλῶν τιμωρίαν, εἰδὼς μὲν ὡς προγνώστης τοὺς μὴ μετανοήσαντας, οἰκονομῶν δ᾽ ὅμως φιλανθρώπως τὴν ἐπιστροφὴν αὐτῶν δι᾽ ἀπειλῆς καὶ παιδείας σωματικῆς, λέγων.

22 Ἰδοὺ ἐγὼ βάλλω αὐτὴν εἰς κλίνην, καὶ τοὺς μοιχεύοντας μετ᾽ αὐτῆς εἰς θλίψιν μεγάλην, ἐὰν μὴ μετανοήσωσιν ἐκ τῶν ἔργων αὐτῶν.

23 Καὶ τὰ τέκνα αὐτῆς ἀποκτενῶ ἐν θανάτῳ, καὶ γνώσονται πᾶσαι αἱ ἐκκλησίαι, ὅτι ἐγώ εἰμι ὁ ἐρευνῶν νεφροὺς καὶ καρδίας· καὶ δώσω ὑμῖν ἑκάστῳ κατὰ τὰ ἔργα ὑμῶν.

Καὶ διδάσκων ἡμᾶς διὰ τούτων, ὅτι πολλαὶ τῶν μακρονοσιῶν καὶ ἀσθενειῶν τοῖς πλημμελοῦσι καὶ τοῖς τὰ ὅμοια τούτοις πράττουσι, καὶ τοῖς ὡς τέκνα διαδεχομένοις τὴν τῶν προγενεστέρων κακίαν, ἐπάγονται, ἢ δι᾽ ἐκκοπὴν τῶν κακῶν, ἢ διὰ παίδευσιν τῶν ἡμαρτημένων, ἢ πρὸς ὑπόδειγμα τῶν ἄλλων.

24 Ὑμῖν δὲ λέγω, καὶ λοιποῖς τοῖς ἐν Θυατείροις, ὅσοι οὐκ ἔχουσι τὴν διδαχὴν ταύτην, καὶ οἵ

τινες οὐκ ἔγνωσαν τὰ βάθη τοῦ σατανᾶ, ὡς λέγουσιν, οὐ βαλῶ ἐφ᾽ ὑμᾶς ἄλλο βάρος.

Τῶν εἰρημένων Νικολαϊτῶν τὰ βάθη τὰ σατανικὰ, ἤτοι τὰς κεκρυμμένας αἰσχρουργίας αὐτῶν, οἱ μὲν τῶν Χριστιανῶν γινώσκοντες, οὐκ ἐδέχοντο τὴν διδαχὴν αὐτῶν, οἱ δὲ μὴ εἰδότες, καὶ νομίζοντες αὐτοὺς Χριστιανοὺς, ἐπλανῶντο. Τοὺς μὲν οὖν πρώτυς ἐπαινεῖ, ὡς μὴ δεξαμένους τὴν διδαχὴν αὐτῶν, τοῖς δὲ δευτέροις λέγει, ὅτι οὐκ ἐπιτίθησι βάρος ἄλλο, εἰμὴ τὸ φυλάξαι τὴν πίστιν ἀσινῆ παρ᾽ αὐτῶν ζητεῖ.

25 Πλὴν ὃ ἔχετε κρατήσατε, ἄχρις οὗ ἂν ἥξω.

Τὸ ἕως οὗ ἂν ἥξω, ἢ τὴν ἐπὶ συντελείᾳ τῶν αἰώνων δευτέραν αὐτοῦ παρουσίαν δηλοῖ, ἐν ᾗ κρινεῖ τὸν κόσμον, ἢ τὴν τελευτὴν ἑκάστυ ἡμῶν, καθ᾽ ἣν πορευσόμεθα πρὸς αὐτὸν, καὶ παραστησόμεθα αὐτῷ, καὶ ὡς παραγεγονότα καὶ παρόντα θεασόμεθα αὐτόν. Διδάσκει οὖν ἡμᾶς, μέχρι τούτων τῶν δύο παρουσιῶν, τῆς τε ἰδίας καὶ τῆς κοινῆς, τηρῆσαι τήν τε πίστιν τὴν ἀμώμητον, καὶ ἣν παρελάβομεν ὀρθὴν διδασκαλίαν.

26 Καὶ ὁ νικῶν καὶ ὁ τηρῶν ἄχρι τέλους τὰ ἔργα μου, δώσω αὐτῷ τὴν ἐξουσίαν ἐπὶ τῶν ἐθνῶν.

27 Καὶ ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς τὰ σκεύη τὰ κεραμικὰ συντριβήσεται, ὡς κἀγὼ εἴληφα παρὰ τοῦ πατρός μου.

Ἐπειδή τινες τῶν ἐν Θυατείροις εὐσεβῶν δι᾽ ἀμάθειαν οὐκ ἠδύναντο μὲν ἀνατρέπειν καὶ ἀντιλέγειν πρὸς τὰ ὑπὸ τῶν αἱρετικῶν σοφίσματα, οὐκ ἐπείθοντο δὲ τούτοις· πρὸς οὓς λέγει ἡ Ἀπο-

κάλυψις, ὅτι ἀρκεῖ αὐτοῖς ἡ εὐαρέστησίς μου· πρὸς δὲ τοὺς δυναμένους ἀνασκευάζειν τὰ ἐκείνων ἐπιχειρήματα λέγει, ὅτι δώσει αὐτοῖς ἐξουσίαν κατὰ τῶν ἐθνῶν· οὗτος δὲ ὁ λόγος δεῖται ἀναπτύξεως. Λέγομεν οὖν, ὅτι ὁ Κύριος ἡμῶν ἔν τε τῷ ΚΕ΄ κεφαλαίῳ τοῦ κατὰ Ματθαῖον Εὐαγγελίου, καὶ ἐν τῷ ΙΘ΄ τοῦ κατὰ Λουκᾶν εἶπε παραβολήν· ὅτι ἄνθρωπος ἀποδημῶν ἐκάλεσε τοὺς ἰδίους δούλους, καὶ παρέδωκεν αὐτοῖς τὰ ὑπάρχοντα αὐτοῦ· καὶ ᾧ μὲν ἔδωκε πέντε τάλαντα, ᾧ δὲ δύο, ᾧ δὲ ἕν, ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν, καὶ ἀπεδήμησεν εὐθέως. Πορευθεὶς δὲ ὁ τὰ πέντε τάλαντα λαβὼν, εἰργάσατο ἐν αὐτοῖς, καὶ ἐποίησεν ἄλλα πέντε τάλαντα· ὡσαύτως καὶ ὁ τὰ δύο, ἐκέρδησε καὶ αὐτὸς ἄλλα δύο· ὁ δὲ τὸ ἓν λαβὼν, ἀπελθὼν ὤρυξεν ἐν τῇ γῇ, καὶ ἀπέκρυψε τὸ ἀργύριον τοῦ Κυρίου αὐτοῦ. Μετὰ δὲ χρόνον πολὺν ἔρχεται ὁ Κύριος τῶν δούλων ἐκείνων, καὶ συναίρει μετ' αὐτῶν λόγον· καὶ προσελθὼν ὁ τὰ πέντε τάλαντα λαβὼν, προσήνεγκεν ἄλλα πέντε τάλαντα, λέγων· Κύριε, πέντε τάλαντά μοι παρέδωκας, ἴδε ἄλλα πέντε τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς· ἔφη δὲ αὐτῷ ὁ Κύριος αὐτοῦ· Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου. Προσελθὼν δὲ καὶ ὁ τὰ δύω τάλαντα λαβὼν, εἶπε· Κύριε, δύω τάλαντά μοι παρέδωκας, ἴδε ἄλλα δύο τάλαντα ἐκέρδησα ἐπ' αὐτοῖς· ἔφη αὐτῷ ὁ Κύριος αὐτοῦ· Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἧς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σȣ. Προσελθὼν δὲ καὶ ὁ τὸ ἓν τάλαντον εἰληφὼς, εἶπε· Κύριε, ἔγνων σε ὅτι σκληρὸς εἶ ἄνθρωπος, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας· καὶ φοβηθεὶς, ἀπελθὼν ἔκρυψα τὸ τάλαντόν σου ἐν τῇ γῇ· ἴδε ἔχεις τὸ σόν· ἀποκριθεὶς δὲ ὁ Κύριος αὐτοῦ, εἶπεν αὐτῷ· Πονηρὲ δοῦλε καὶ ὀκνηρὲ, ᾔδεις ὅτι θερίζω ὅπου οὐκ ἔσπειρα, καὶ συνάγω ὅθεν οὐ διεσκόρπισα· ἔδει οὖν σε βαλεῖν τὸ ἀργύριόν μου τοῖς τραπεζίταις, καὶ ἐλθὼν ἐγὼ ἐκομισάμην ἂν τὸ ἐμὸν σὺν τόκῳ. Ἄρατε οὖν ἀπ' αὐτοῦ τὸ τά-

λαντον, καὶ δότε τῷ ἔχοντι τὰ δέκα τάλαντα· τῷ γὰρ ἔχοντι παντὶ δοθήσεται, καὶ περισσευθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ ἔχει, ἀρθήσεται ἀπ' αὐτοῦ. Ταύτης τῆς παραβολῆς ἡ ἑρμηνεία τοιαύτη ἐστίν· Ἄνθρωπος μὲν λέγεται ὁ Κύριος ἡμῶν, ὅστις διὰ φιλανθρωπίαν ἐγένετο ἄνθρωπος ὑπὲρ ἡμῶν· ἀποδημία δέ ἐστιν αὐτοῦ ἡ μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν ἀνάληψις· ἢ ἡ μακροθυμία αὐτοῦ καὶ ἀνοχὴ, καθ' ἣν οὐκ εὐθέως εἰσπράττει δίκας τοὺς ἁμαρτάνοντας· δοῦλοι δὲ αὐτοῦ οἱ εἰς αὐτὸν πιστεύσαντες, καὶ οἱ ἐμπιστευθέντες διακονίαν λόγου καὶ διδασκαλίας, οἷαν ἀρχιερεῖς, ἱερεῖς καὶ διδάσκαλοι, καὶ πάντες οἱ πνευματικήν τινα ἐγκεχειρισμένοι ἐπιστασίαν, μεγάλην ἢ μικρὰν, κατὰ τὴν πίςιν καὶ καθαρότητα ἑκάστου αὐτῶν, ὥσπερ οἱ λαμβάνοντές τι κατὰ τὸ χωρητικὸν τοῦ σκεύους ἕκαστος. Τοιοῦτοι δέ εἰσι καὶ οἱ πλοῦτον ἔχοντες, ἢ ἐξουσίαν καὶ δύναμιν, ἢ παῤῥησίαν παρὰ τοῖς κρατοῦσιν, ἢ τέχνην, ἢ ἐπιτηδειότητά τινα, ἢ σύνεσιν καὶ γνῶσιν, ἢ ἕτερόν τι τῶν τοιούτων χαρισμάτων. Τούτων ὅσοι μὲν ὠφελοῦσιν οὐ μόνον ἑαυτοὺς ἀλλὰ καὶ ἑτέρους, οὗτοι προστιθέασι καὶ αὔξουσι τὸ ἐμπιστευθὲν αὐτοῖς τάλαντον· οἱ δὲ τῷ πλούτῳ αὐτῶν ἢ τῇ ἐπιστήμῃ, ἢ τῇ τέχνῃ, ἢ τῇ ἐπιτηδειότητι χρώμενοι πρὸς ὠφέλειαν ἑαυτῶν μόνον, οὐχὶ δὲ καὶ τῶν ἄλλων, καὶ οἱ διά τινος τούτων τῶν χαρισμάτων καταγινόμενοι πρὸς κτῆσιν τῶν ματαίων καὶ γηΐνων καὶ προσκαίρων· ὡσαύτως καὶ οἱ τὴν εὐφράδειαν καὶ τὴν ἀγχίνοιαν ὄργανον κακομηχανίας καὶ δόλου καὶ ψεύδους ποιούμενοι, οἱ τοιοῦτοι θανατοῦσι καὶ νεκρὸν ἀποκαθιστῶσι τὸ ἐν αὐτοῖς πνευματικὸν χάρισμα, καὶ οἱονεὶ ἐνειλίσσουσιν αὐτὸ ὡς νεκρὸν τῷ σουδαρίῳ, καὶ κατωρύττουσιν εἰς γῆν, τὰ τῆς γῆς καὶ τὰ τοῦ κόσμου ἐπιζητοῦντες. Μετὰ δὲ χρόνον πολὺν, τουτέστι μετὰ πολλὴν μακροθυμίαν, ἔρχεται ὁ Κύριος ὁ παρασχὼν τὸ χάρισμα, καὶ ζητεῖ ὡς δίκαιος κριτὴς τὸ ἀργύριον αὐτοῦ, ἤτοι τὸν λόγον· τὰ γὰρ λόγια Κυρίου ἀργύριον πεπυρωμένον· καὶ τὸ χάρισμα, ὃ ἐδωρήσατο, τὸ πλουτίζον καὶ δοξάζον τοὺς λαμβά-

νοντας καὶ λαμπρύνον αὐτούς. Τὸν οὖν κερδίσαντα καὶ προσθέντα, ὡς ἔφημεν, ἐπαινεῖ ὁ Κύριος αὐτοῦ λέγων· Εὖ δοῦλε ἀγαθὲ καὶ πιστὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς, ἐπὶ πολλῶν σε καταστήσω· ἀγαθὸν μὲν ὀνομάζων αὐτὸν ὡς μιμητὴν τοῦ ἀγαθοῦ Θεοῦ ἐν τῷ εὐεργετῆσαι καὶ ἀγαθοποιῆσαι τοὺς πάντας· πιστὸν δὲ, ὡς ποιήσαντα τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ. Τὸ δὲ, ἐπὶ ὀλίγα ἦς πιστὸς ἐπὶ πολλῶν σε καταστήσω, ὑπαινίττεται ὅτι τὰ μὲν ἐν τῷ παρόντι βίῳ διδόμενα τοῖς ἀξίοις χαρίσματα, παραβαλλόμενα τοῖς ἐν τῷ μέλλοντι δοθησομένοις ἀγαθοῖς, ὀλίγα δοκοῦσιν· ὁ δὲ ἐνταῦθα διὰ τῆς καλῆς χρήσεως αὐξήσας ταῦτα, πολὺ μειζόνων τεύξεται ἐν τῷ μετὰ θάνατον. Εἰς δὲ τὸ παρὰ τοῦ Λουκᾶ εἰρημένον, Ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων, λέγομεν· ὅτι ἡ πόλις ἐςὶ περιεκτικωτέρα πάσης περιοχῆς, ὁ δὲ δέκα ἀριθμὸς ἔχει τὴν ἐν ἀριθμοῖς τελειότητα, ἡ δὲ ἐξουσία περιλαμβάνει πᾶσαν δεσποτείαν. Τὸ οὖν ἴσθι ἐξουσίαν ἔχων ἐπάνω δέκα πόλεων, ἀντὶ τοῦ πληρεξουσίως δέσποζε, καὶ ἔχε πᾶσαν εὐδαιμονίαν καὶ μακαριότητα. Τὸ δὲ παρὰ τῷ Ματθαίῳ εἰρημένον· Εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου, σημαίνει ὅτι ἐπειδὴ ὁ Κύριος εὐφρανθήσεται ἐπὶ τοῖς ἔργοις αὐτοῦ κατὰ τὸν Δαβὶδ, ταύτης τῆς τοῦ Κυρίου εὐφροσύνης ἀξιωθήσονται καὶ οἱ δίκαιοι, χαίροντες ἐπὶ τοῖς ἔργοις αὐτῶν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ· ὥσπερ τοὐναντίον οἱ ἁμαρτωλοὶ ἀλγήσουσι καὶ αἰσχυνθήσονται ἐπὶ τοῖς ἔργοις αὐτῶν τοῖς πονηροῖς. Ὁ δὲ εἶπεν ὁ πονηρὸς δοῦλος καὶ ὀκνηρὸς πρὸς τὸν Κύριον αὐτοῦ· Ἔγνων σε ὅτι ἄνθρωπος σκληρὸς εἶ, θερίζων ὅπου οὐκ ἔσπειρας, καὶ συνάγων ὅθεν οὐ διεσκόρπισας· τοῦτό ἐςι λόγος τῶν κακοδόξων, φασκόντων ὅτι ὁ Θεὸς οὐκ ἐνέσπειρε τὴν πρᾶξιν τοῦ ἀγαθοῦ πᾶσιν ἀνθρώποις, ἀλλά τισι· καὶ ὃν μὲν θέλει δικαιοῖ, ὃν δὲ θέλει κολάζει, προσάπτοντες ἀσυνειδότως ἀδικίαν καὶ σκληρότητα τῷ δικαιοτάτῳ καὶ ὑπεραγάθῳ Θεῷ, διότι ζητεῖ ἐν ἡμέρᾳ κρίσεως ἀγαθὰς πράξεις παρ' ἀνθρώπων, ἃς αὐτὸς οὐκ ἐνέσπειρεν εἰς τὰς ἀρούρας τῶν καρδιῶν αὐτῶν· ἀρνούμενοι τὴν εὐεργεσίαν τοῦ δόν-

ξουσίαν ἐπὶ τῶν ἐθνῶν, δηλαδὴ τῇ παρουσίᾳ αὐτῶν κατακρῖναι αὐτὰ ὡς μὴ πιστεύσαντα. Καὶ ῥάβδῳ σιδηρᾷ συντρίψουσιν αὐτά, ἤτοι καταισχυνοῦσι καὶ ἐπιστομίσουσιν· ὥσπερ καὶ ὁ Κύριος κατὰ τὴν ἀνθρωπότητα αὐτοῦ λέγεται παρὰ τῷ Δαβὶδ λαβεῖν ἐκ Σιὼν ῥάβδον δυνάμεως, καὶ ῥάβδον εὐθύτητος, τουτέστιν ἐξουσίαν κρίσεως καὶ παιδεύσεως τῶν ἀμετανοήτων.

28 Καὶ δώσω αὐτῷ τὸν ἀστέρα τὸν πρωϊνόν.

29 Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

Ἀστὴρ πρωϊνὸς λέγεται τὸ φῶς τοῦ Χριστοῦ, περὶ οὗ καὶ Πέτρος ὁ Ἀπόστολος ἔφη· «Ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν» (1). Καὶ Ἰωάννης ὁ πρόδρομος λέγεται ἀστὴρ πρωϊνός· προέλαβε γὰρ τῆς ἀνατολῆς, ἤτοι τῆς πρώτης Χριστοῦ παρουσίας, ὥσπερ καὶ Ἡλίας τῆς δευτέρας. Τοιγαροῦν ὁ νικήσας τὸν διάβολον, καὶ ὁ τὰ θεάρεστα ἔργα ἄχρι τέλους φυλάξας, ἕξει τὴν μερίδα αὐτοῦ μετὰ τῶν ἀρχηγῶν τοῦ ζήλου Ἰωάννου τε καὶ Ἡλιοῦ. Λέγεται προσέτι ἀστὴρ πρωϊνὸς καὶ ἡ μέλλουσα ζωή, ἡ μετὰ τὴν διάβασιν τοῦ φωτὸς τοῦ αἰῶνος τούτου, τοῦ ὡς νὺξ λογιζομένου, κατὰ σύγκρισιν τοῦ ἀνεσπέρου ἐκείνου φωτός. Ἔτι ἀστὴρ πρωϊνὸς λέγεται καὶ ὁ ἄγγελος, ὁ φύλαξ καὶ προστάτης τῆς Ἐκκλησίας, ἥτις ἐὰν πεισθῇ τοῖς τοῦ Κυρίου λόγοις, ἔσεται αὐτῇ φύλαξ. Νοεῖται καὶ ὁ διάβολος ἀστὴρ πρωϊνὸς καὶ ἑωσφόρος, διὰ τὴν πρώτην αὐτοῦ δόξαν καὶ λαμπρότητα, ὃν δίδωσιν ὁ Θεὸς τοῖς νικήσασιν εἰς καταπάτημα. Τοῦτον καὶ Δαβὶδ ὁ Προφήτης παρεικάζει ἀσπίδι καὶ βασιλίσκῳ, καὶ λέοντι καὶ δράκοντι, ἐν τῷ λέγειν· «Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα» (2). Περὶ τούτου

(1) Β΄ Πέτρ. ά, 19. (2) Ψαλμ. η΄, 13.

λέγει καὶ ὁ Ἀπόστολος, ὅτι συντρίψει αὐτὸν ὑπὸ τοὺς πόδας τῶν εὐσεβῶν (1). Καὶ οὐδὲν θαυμαστὸν, εἰ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται καὶ ἐπὶ τῶν ἀγαθῶν καὶ ἐπὶ τοῦ πονηροῦ· ἡ γὰρ θεία Γραφὴ λέοντα ὀνομάζει τὸν Χριστὸν, ἐξ Ἰούδα ὁρμώμενον· λέοντα καὶ τὸν διάβολον, ἐκ Βασὰν ὠρυόμενον.

---

## ΚΕΦΑΛΑΙΟΝ Γ'.

1 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Σάρδεσιν ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἔχων τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ, καὶ τοὺς ἑπτὰ ἀστέρας· οἶδά σου τὰ ἔργα, ὅτι τὸ ὄνομα ἔχεις ὅτι ζῇς, καὶ νεκρὸς εἶ.

Πνεύματά εἰσιν οἱ ἄγγελοι κατὰ τὸν Δαβὶδ εἰπόντα· «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα» (2). Καὶ τὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος κατὰ τὸν Ἠσαΐαν· «Ἐπαναπαύσεται ἐπ' αὐτὸν ἑπτὰ πνεύματα· πνεῦμα σοφίας κτλ» (3). Ἀμφότερα δὲ ἐν τῇ χειρὶ τοῦ Κυρίου ἡμῶν ὑπάρχουσιν· οἱ μὲν ἄγγελοι, οἷα δοῦλοι αὐτοῦ καὶ διάκονοι, εἰς διακονίας διαφόρους ἀποστελλόμενοι κατὰ Παῦλον· τὰ δὲ τοῦ πνεύματος χαρίσματα, διότι οὗτός ἐστιν ὁ παροχεὺς αὐτῶν. Τὸ δὲ οἶδά σου τὰ ἔργα, ἐνταῦθα οὐ σημαίνει τὴν οἰκειότητα καὶ εὐαρέστησιν τοῦ Θεοῦ, καθὰ καὶ τοῖς πρὸ αὐτῶν εἴρηται, ἀλλὰ τὴν γνῶσιν ἁπλῶς, καθ' ἣν πάντα ἐφορᾷ, καὶ πάντα βλέπει ὁ ἀκοίμητος ὀφθαλμὸς τοῦ Θεοῦ· οὐ γὰρ ἦσαν αἱ πράξεις τῶν ἐν Σάρδεσι θεάρεστοι καὶ ἄξιαι τῆς κατὰ τὴν οἰκειότητα ἐπιβλέψεως, ὅπερ ἐμφαίνεται ἐκ τοῦ εἰρημένου ἐφεξῆς, ὅτι τὸ ὄνομα ἔχεις ὅτι ζῇς, καὶ νεκρὸς εἶ· ὅπερ δηλοῖ, ὅτι ἡ εἰς Χριστὸν

(1) Ρωμ. ιϛ', 20. (2) Ψαλμ. ργ', 4. (3) Ησ. ιά, 2.

πίστις, καὶ ἡ κατὰ τὴν πίστιν ὀρθὴ πολιτεία ἐστὶ ζωὴ αἰώνιος· διότι εἴρηται· « Τὸ λόγιόν σου ἔζησέ με » (1), τουτέστιν ἐδίδαξέ με τὴν ὁδὸν τῆς ζωῆς τῆς αἰωνίου· ἡ δὲ ἐφάμαρτος πολιτεία ἐστὶ θάνατος, διότι χωρίζει τὸν ἁμαρτωλὸν ἀπὸ τῆς θεαρέστου ζωῆς· ὅθεν καὶ πρὸς τοὺς ἐκ τῆς ἀσεβείας εἰς τὴν εὐσέβειαν ἐλθόντας ἔλεγεν ὁ Παῦλος, ὄντες νεκροὶ τοῖς παραπτώμασιν ἐζωοποιήθητε ἐν Χριστῷ (2). Τοῦτο λέγεται καὶ νῦν πρὸς τοὺς ἐν Σάρδεσιν, ὅτι τὸ ὄνομα ἔχεις ζωῆς, χριστιανὸς ὀνομαζόμενος, τῇ δὲ ἀνοικείῳ πολιτείᾳ νεκρὸς τυγχάνεις, καὶ ἐστερημένος τῆς τῶν Χριστιανῶν ἀληθινῆς ζωῆς.

2 Γίνου γρηγορῶν, καὶ στήριξον τὰ λοιπὰ ἃ μέλλει ἀποθανεῖν· οὐ γὰρ εὕρηκά σου τὰ ἔργα πεπληρωμένα ἐνώπιον τοῦ Θεοῦ.

Ἀποτίναξον δηλαδὴ τὸν ὕπνον τῆς νωθρείας καὶ ἀφροντισίας· ὅσον δὲ παρέμεινέ σοι καλὸν, καὶ τοῦτο παραλελυμένον, στήριξον καὶ ἐπιμελήθητι φυλάξαι· οὐ γάρ ἐστιν ἐν σοὶ ἔργον τέλειον παρὰ τῷ Θεῷ.

3 Μνημόνευε οὖν πῶς εἴληφας καὶ ἤκουσας, καὶ τήρει καὶ μετανόησον. Ἐὰν οὖν μὴ γρηγορήσῃς, ἥξω ἐπὶ σὲ ὡς κλέπτης, καὶ οὐ μὴ γνῷς ποίαν ὥραν ἥξω ἐπὶ σέ.

Λάβε κατὰ νοῦν ἃ παρέλαβες παρὰ τῶν Ἀποστόλων διά τε τῆς ὁράσεως καὶ τῆς ἀκοῆς, καὶ φύλαττε ταῦτα ἀπαράτρεπτα, καὶ μετάβηθι ἀπὸ τοῦ χείρονος ἐπὶ τὸ βέλτιον διὰ τῆς μετανοίας, ἀναλογιζόμενος τήν τε ὥραν τοῦ θανάτου, καὶ τὸν καιρὸν τῆς δευτέ-

(1) Ψαλμ. ριή, 50. (2) Ἐφεσ. β', 1.

ρας μου ἐλεύσεως, ἵνα μὴ ἐξαπίνης ἀμφότερα ἐπέλθῃ σοι καὶ ὑποκλέψῃ σε, μὴ ἔχοντα καιρὸν μετανοίας.

4 Ἔχεις ὀλίγα ὀνόματα καὶ ἐν Σάρδεσιν, ἃ οὐκ ἐμόλυναν τὰ ἱμάτια αὐτῶν, καὶ περιπατήσουσι μετ' ἐμοῦ ἐν λευκοῖς, ὅτι ἄξιοί εἰσιν.

Ἐγὼ δὲ μακροθυμῶ καὶ ὑπερτίθεμαι τὴν ποινὴν, διὰ τὸ μεμενηκέναι ἐν Σάρδεσιν ὀλίγους τινὰς, οἵτινες οὐκ ἐμόλυναν τὰ ἱμάτια, ἤτοι τὰ σώματα ἃ περιβέβληνται ὡς ἱμάτια, οὐδὲ ἔχραναν αὐτὰ ταῖς βεβήλοις πράξεσιν· ἐνταῦθα γὰρ τὰ ἱμάτια ἀντὶ τῶν σωμάτων ἐστὶν, ὥσπερ καὶ Ἰακὼβ ὁ Πατριάρχης ἐπευλογῶν τὸν υἱὸν αὐτοῦ Ἰούδαν ἔφη· «Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ» (1). Τοῦτο περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προφητικῶς φθεγξάμενος, τοῦ ἐκ τῆς φυλῆς Ἰούδα ὁρμωμένου, καὶ πλύναντος ἐν τῷ αἵματι τοῦ πάθους τῆς σαρκὸς αὐτοῦ τὰς ἁμαρτίας τῶν ἀνθρώπων. Αὐτὸς μὲν γὰρ ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, διὰ δὲ τὰς ἀνομίας τοῦ λαοῦ ἤχθη εἰς θάνατον κατὰ τὸν Ἡσαΐαν (2). Ὅθεν κἀνταῦθα τὰ ἱμάτια δηλοῦσι τὰ σώματα· οἱ δὲ πλύναντες ταῦτα διὰ τῆς μετανοίας καὶ τῆς ἐργασίας τῶν ἀρετῶν, λάμψουσιν ὡς ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ· καὶ ἡ λευκότης τῆς καθαρότητος αὐτῶν ἔσται τοιαύτη, οἷα γναφεὺς ἐπὶ τῆς γῆς οὐ δύναται λευκᾶναι, ὥσπερ καὶ τὰ ἱμάτια τοῦ Κυρίου ὤφθησαν ἐν τῷ ὄρει τῷ Θαβώρ.

5 Ὁ νικῶν, οὗτος περιβαλεῖται ἐν ἱματίοις λευκοῖς, καὶ οὐ μὴ ἐξαλείψω τὸ ὄνομα αὐτοῦ ἐκ τῆς βίβλου τῆς ζωῆς, καὶ ἐξομολογήσομαι τὸ ὄνομα

(1) Γεν. μθ', 11. (2) Ἡσ. νγ', 8, 9.

αὐτοῦ ἐνώπιον τοῦ Πατρός μου, καὶ ἐνώπιον τῶν ἀγγέλων αὐτοῦ.

Ὁ ταῖς θεαρέστοις αὐτοῦ πράξεσι καταβαλὼν τὸν διάβολον, καὶ καταργήσας τὰς ἐνεργείας αὐτοῦ, οὗτος ἐνδύσεται δόξαν καὶ μεγαλοπρέπειαν, καὶ γραφήσεται ἐν τῇ βίβλῳ τῆς αἰωνίου ζωῆς, τουτέστι συγκαταλεγήσεται τοῖς κτησαμένοις ζωὴν ἀθάνατον ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ, ὡς ἔφη ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· «Μὴ χαίρετε ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, χαίρετε δὲ μᾶλλον, ὅτι τὰ ὀνόματα ὑμῶν ἐγράφη ἐν τοῖς οὐρανοῖς» (1), ἤτοι ἐν διαμονῇ μὴ διακοπτομένῃ θανάτῳ, ἣν ζῶσιν οἱ οὐράνιοι ἄγγελοι. Ὁ τοιοῦτος ὁμολογήσει τὸ ὄνομα τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐνώπιον βασιλέως καὶ τυράννου, ἀνθ᾽ ὅτου καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ὁμολογήσει αὐτὸν, ἤτοι ἐπιδείξει γνήσιον αὐτοῦ δοῦλον ἐνώπιον τοῦ Πατρὸς αὐτοῦ, ᾧ παρίστανται οἱ ἄγγελοι· τοῦτο δηλοῖ τὸ, καὶ ἐνώπιον τῶν ἀγγέλων. Τοὺς δὲ ἀγγέλους, ὁτὲ μὲν τοῦ Πατρὸς λέγει, ὁτὲ δὲ ἑαυτοῦ ἐν τῷ λέγειν· «Ἀποστελεῖ ὁ Υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ» (2)· δεικνὺς διὰ τούτου τὸ ὁμόδοξον, καὶ ὅτι ἔχει ὁ Υἱὸς πάντα, ὅσα ὁ Πατήρ.

6 Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ Πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

7 Καὶ τῷ ἀγγέλῳ τῆς ἐν Φιλαδελφείᾳ ἐκκλησίας γράψον· Τάδε λέγει ὁ ἅγιος, ὁ ἀληθινὸς, ὁ ἔχων τὴν κλεῖδα τοῦ Δαβὶδ, ὁ ἀνοίγων καὶ οὐδεὶς κλείει· καὶ κλείει, καὶ οὐδεὶς ἀνοίγει.

Ἅγιος λέγεται μὲν ὡς Θεός· ἤκουσε γὰρ Ἠσαΐας τὰ Σε-

(1) Λουκ. ί, 20. (2) Ματθ. κδ', 31.

ραφὶμ βοῶντα καὶ λέγοντα· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ (1). Τῷ μὲν τριαδικῷ τοῦ, ἅγιος, ἐμφαίνοντα τὸ τριττὸν τῶν ὑποστάσεων, Πατρός, φημί, καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος· τῷ δὲ ἑνικῷ τοῦ Κύριος, δηλοῖ τὸ ἑνιαῖον τῆς φύσεως, καὶ τὴν μίαν κυριότητα τὴν ἐπὶ πάντων τῶν κτισμάτων. Ἀληθινὸς δέ, ὅτι ἀληθινὸς Υἱὸς Θεοῦ ὑπάρχων, ἐγένετο καὶ ἄνθρωπος ἀληθινός, οὐ δοκήσει οὐδὲ φαντασίᾳ· οὐδὲ γὰρ ὠνομάσθη ἄνθρωπος διὰ τὴν πρὸς ἀνθρώπους οἰκειότητα, οὐδὲ Θεὸς κέκληται ὁ Ἐμμανουὴλ σχέσει τῇ πρὸς Θεόν, ὡς ἐληρώδει Νεςόριος, ἀλλ' ἀληθινὸς Θεός, καὶ ἀληθινὸς ἄνθρωπός ἐστι. Κλεῖς δὲ τοῦ Δαβὶδ λέγεται ἡ ἐξουσία, ἣν ἔλαβεν ἡ ἀνθρωπότης αὐτοῦ παρὰ τῆς Θεότητος, καθὼς αὐτὸς εἴρηκε μετὰ τὴν ἀνάστασιν αὐτοῦ· «Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς» (2). Τοιαύτην ἐξουσίαν δέδωκε καὶ τοῖς μαθηταῖς αὐτοῦ, ἣν καὶ κλεῖς ὀνομάζει, οἷά που τῷ Πέτρῳ ἔφη· «Δώσω σοι τὰς κλεῖς τῆς βασιλείας τῶν οὐρανῶν» (3), αἵτινές εἰσι τὸ δεσμεῖν καὶ λύειν τὰς ἁμαρτίας. Τὸ δὲ ἀνοίγειν καὶ κλείειν σημαίνει τὸ δικαιοῦν τὸν ἄνθρωπον ἀπὸ τῶν ἁμαρτιῶν καὶ κατακρίνειν τοὺς ἀμετανοήτους· ἀμφότερα δὲ ποιεῖ τῇ δικαιοσύνῃ αὐτοῦ. Μέμνηται δὲ τοῦ Δαβὶδ συνῳδᾶ τῷ εὐαγγελισαμένῳ τὴν ἀειπάρθενον Θεοτόκον ἀρχαγγέλῳ, εἰρηκότι· «Καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ» (4)· ὥσπερ γὰρ ὁ Δαβὶδ ἐβασίλευσεν ἐπὶ τοῦ αἰσθητοῦ Ἰσραήλ, οὕτω καὶ ὁ ἐκ φυλῆς τοῦ Δαβὶδ ὁρμώμενος Ἰησοῦς Χριστὸς βασιλεύει ἐπὶ τοῦ νοητοῦ Ἰσραήλ, ὅς ἐστι τὸ σύστημα τῶν πιστευόντων εἰς αὐτόν· καὶ γὰρ οὗτοι χρηματίζουσι νόες ὁρῶντες τὸν Θεὸν κατὰ τὴν ἑρμηνείαν τῆς Ἰσραὴλ λέξεως· Τὸν δὲ θρόνον, ἤτοι τὴν ἐξουσίαν καὶ τὴν βασιλείαν λαβεῖν λέγεται παρὰ τοῦ Πατρός, οὐχ ὡς Θεός, ἀλλ' ὡς ἄνθρωπος· κατὰ γὰρ τὴν θεότητα ἦν, καὶ ἔστι, καὶ ἔσται βασιλεὺς ἁπάντων.

---

(1) Ἡσ. ς', 3. (2) Ματθ. κή, 19. (3) Ματθ. ις', 19. (4) Λουκ. ά, 32.

8 Οἶδά σου τὰ ἔργα, ἰδοὺ δέδωκα ἐνώπιόν σου θύραν ἀνεῳγμένην, καὶ οὐδεὶς δύναται κλεῖσαι αὐτήν· ὅτι μικρὰν ἔχεις δύναμιν, καὶ ἐτήρησάς μου τὸν λόγον, καὶ οὐκ ἠρνήσω τὸ ὄνομά μου.

Τοῖς πρὸς τὸ ἀγαθὸν ῥοπὴν ἔχουσιν εὐσεβέσι προέθετο ὁ Κύριος θύραν τῶν ἀγαθῶν, καὶ ταύτην ἀνεῳγμένην, τουτέστι ῥᾳδίαν καὶ ἡτοιμασμένην ἀπὸ καταβολῆς κόσμου, ἵνα εἰσέλθωσιν εἰς αὐτὴν, καὶ ἀπολαύσωσιν ἐν ἀνέσει τῶν ἔνδον ταύτης ἐπηγγελμένων ἀγαθῶν. Τοῦτο σημαίνει καὶ τὸ παρὰ τοῦ Σωτῆρος εἰρημένον· «Ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστι» (1), πρόχειρος δηλαδὴ καὶ ἀκώλυτος τοῖς βουλομένοις εἰσελθεῖν διὰ τῆς πίστεως καὶ τῶν ἐναρέτων πράξεων. Τοῦτο κἀνταῦθα ὑπισχνούμενος, διεγείρει τοὺς πρωτοπείρους πρὸς τὴν εἴσοδον, καὶ ἐνισχύει αὐτούς· ἀνεῳγμένης γὰρ οὔσης τῆς θύρας, οἱ θεώμενοι τὴν ἔνδον δόξαν καὶ εὐπρέπειαν, ἀλογίζουσι τὰς δυσχερείας, καὶ οὐκ ὀκλάζουσι πρὸς τὴν εἰσέλευσιν, ἀλλὰ τῇ ἐλπίδι τῆς κτήσεως προθυμότατα ὑπομένουσι τοὺς καμάτους. Ἔτι θύρα ἀνεῳγμένη λέγεται καὶ τὸ κήρυγμα τῆς πίστεως· ταύτην δὲ τὴν θύραν οὐκ ἰσχύουσι κλεῖσαι οἱ πειρασμοὶ καὶ αἱ κακώσεις, οὐδὲ δύνανται ἀπεῖρξαι τῆς εἰσόδου τοὺς θεασαμένους νοεροῖς ὄμμασι τὰ κάλλη τῶν μυστηρίων τῆς πίστεως, καί τοι τῆς ἀνθρωπίνης δυνάμεως βραχείας οὔσης, καὶ πρὸς τὰ δεινὰ ἀπαυδώσης· ἀλλὰ τὸ ἀνοῖξαι καὶ ἐξομαλίσαι τὴν εἴσοδον, ἔργον τῆς δυνάμεώς ἐστι τοῦ Θεοῦ, τοῦ παρέχοντος τοῖς ἀγαπῶσιν αὐτὸν ἰσχὺν καρτερίαν τε καὶ προθυμίαν.

9 Ἰδοὺ δίδωμι ἐκ τῆς συναγωγῆς τοῦ σατανᾶ, τῶν λεγόντων ἑαυτοὺς Ἰουδαίους εἶναι, καὶ οὐκ εἰσὶν,

(1) Λουκ. ιζ΄, 21.

ἀλλὰ ψεύδονται. Ἰδοὺ ποιήσω αὐτοὺς ἵνα ἥξωσι καὶ προσκυνήσωσιν ἐνώπιον τῶν ποδῶν σου, καὶ γνῶσιν, ὅτι ἐγὼ ἠγάπησά σε.

Οἱ Ἰουδαῖοι πρότερον μὲν συναγωγὴ τοῦ σατανᾶ ἐγένοντο, ὡς συναχθέντες ὑπ᾿ αὐτοῦ ἐπὶ ψεύδει, ὕστερον δὲ ἰδόντες τὰ χαρίσματα, ἃ ἔδωκεν ὁ Χριστὸς τῇ Ἐκκλησίᾳ αὐτοῦ, τῷ συστήματι δηλαδὴ τῶν πιστευόντων εἰς αὐτὸν, καὶ κατανοήσαντες τὴν ἀγάπην αὐτοῦ, μεταμεληθέντες τινὲς ἐξ αὐτῶν οὐκ εὐάριθμοι, προσέδραμον θερμῶς τῇ πίστει τοῦ Χριστοῦ, ἐφιέμενοι ἀπολαῦσαι τῶν χαρισμάτων τῶν δωρουμένων, οὐ τοῖς σαρκίνοις Ἰουδαίοις τοῖς τὸ ὄνομα μόνον τοῦ Ἰούδα ἔχουσιν, ἀλλὰ τοῖς ἐν καρδίᾳ αὐτῶν τὴν ἐξομολόγησιν κτησαμένοις, καὶ εἵλοντο γενέσθαι ἔσχατοι τῶν ὀπαδῶν τῆς Ἐκκλησίας· καὶ τοῦτο σημαίνει τὸ, ἵνα ἥξωσι καὶ προσκυνήσωσιν ἐνώπιον τῶν ποδῶν σου, καὶ γνώσονται, ὅτι ἐγὼ ἠγάπησά σε. Ἐπιφέρει δὲ καὶ τὴν αἰτίαν τῆς ἀγάπης, λέγων.

10 Ὅτι ἐτήρησας τὸν λόγον τῆς ὑπομονῆς μου, κἀγώ σε τηρήσω ἐκ τῆς ὥρας τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι ἐπὶ τῆς οἰκουμένης ὅλης, πειράσαι τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς.

Ἤγουν διότι ἐτήρησας καὶ ἐβάστασας θλίψεις πολλὰς διὰ τὴν πρὸς ἐμὲ ἀγάπην σου, καὶ ἐφύλαξας, καὶ ἐν ἔργῳ ἐπλήρωσας τὸν λόγον μου καὶ τὴν διδασκαλίαν μου, διὰ τοῦτο κἀγὼ τηρήσω σε ἀπὸ τῆς ὥρας τοῦ πειρασμοῦ τῆς μελλούσης ἔρχεσθαι ἐπὶ τῆς οἰκουμένης ὅλης ἐν ταῖς ἡμέραις τοῦ ἀντιχρίστου.

11 Ἰδοὺ ἔρχομαι ταχύ· κράτει ὃ ἔχεις, ἵνα μηδεὶς λάβῃ τὸν στέφανόν σου.

Τήρησον λέγει τὴν πίστιν, ἵνα μὴ ἀπολέσῃς τὸν στέφανον τῆς δόξης, τὸν ἡτοιμασμένον τοῖς μέχρι τέλους ὑπομένουσι· καὶ γνῶθι, ὅτι οὐ μελλήσω ἐπὶ πολὺ, ἀλλ' εὐθὺς μετὰ τὰς θλίψεις παραστήσομαί σοι καὶ ἐπόψει με.

12 Ὁ νικῶν, ποιήσω αὐτὸν στύλον ἐν τῷ ναῷ τοῦ Θεοῦ μου, καὶ ἔξω οὐ μὴ ἐξέλθῃ ἔτι, καὶ γράψω ἐπ' αὐτὸν τὸ ὄνομα τῆς πόλεως τοῦ Θεοῦ μου, τῆς καινῆς Ἱερουσαλὴμ, ἡ καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ μου, καὶ τὸ ὄνομά μου τὸ καινόν.

Τὸ ὁ Θεός μου ἐνταῦθα, ὡς ἀπὸ τῆς ἀνθρωπότητος τοῦ Κυρίου εἴρηται, καὶ οὐ σμικρύνει τὴν ἐν αὐτῷ θεότητα, ἀλλ' ἐμφαίνει τὴν ἀδιαίρετον ἕνωσιν τῶν ἐν τῇ μιᾷ αὐτοῦ ὑποστάσει δύο φύσεων· αἱ γὰρ ἐν τῷ Κυρίῳ δύο φύσεις, καί τοι ἀσύγχυτοι θεωροῦνται τῇ ἐπινοίᾳ, ὅμως μέν τοι μεταδιδόασιν ἀλλήλαις τὰς ἰδιότητας ἑκάστης ὑπὲρ ἔννοιαν καὶ ὑπὲρ κατάληψιν· λέγονται γὰρ αἱ ἀνθρώπιναι ἰδιότητες καὶ ἐπὶ τῆς ὑπερουσίου θεότητος αὐτοῦ, ὡσαύτως καὶ αἱ τῆς θεότητος ἐπὶ τῆς ἀνθρωπότητος αὐτοῦ, τῷ τρόπῳ τῆς ἀντιδόσεως διὰ τὴν ἄκραν ἕνωσιν, καὶ τὴν ἐν ἀλλήλαις περιχώρησιν τῶν δύο φύσεων. Λέγει τοιγαροῦν ἐνταῦθα· τῷ νικῶντι τὸν διάβολον δώσει ὁ Θεὸς χαρίσματα ἀγαθὰ, ἅτινα ἡνίκα ὄψονται οἱ ἀσθενεῖς τὰς διανοίας, στηρίζονται ἐν τῇ πίστει καὶ θεμελιοῦνται ὡς ἐπὶ στύλου, καὶ γενήσεται αὐτοῖς ἡ πίστις βάσις καὶ στήριγμα, καὶ ἔσται ἀκλόνητος ἀπὸ τῆς χαρᾶς τῆς διαμενούσης ἐν τῷ ναῷ τοῦ Θεοῦ, ἤτοι ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ τοῦτο δηλοῖ τὸ, μὴ ἐξέλθῃ ἔτι. Καὶ γραφήσεται ἐν ταῖς πλαξὶ τῆς καρδίας αὐτοῦ τὸ θαυμαστὸν ὄνομα τοῦ Θεοῦ, τουτέστιν ἡ γνῶσις

αὐτοῦ καὶ ἡ δοξολογία. Γραφήσεται προσέτι καὶ τὸ ὄνομα τῆς πόλεως καινῆς Ἱερουσαλήμ, τῆς καταβαινούσης ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ, ἥτις ἐστὶν ἡ Ἐκκλησία τοῦ Χριστοῦ, καὶ ἡ καθαρὰ καὶ ἡ σεμνὴ πολιτεία, ἣν ὀφείλομεν ἡμεῖς οἱ Χριστιανοὶ πολιτεύεσθαι. Αὕτη δὲ λέγεται Ἱερουσαλὴμ μὲν, διότι ἐστὶν ἀγαπητὸν σκήνωμα τοῦ Θεοῦ Ἰακώβ· καινὴ δὲ, ὅτι οὐκ ἔστιν ἐν αὐτῇ παλαιότης καὶ φθορὰ τῆς ἁμαρτίας· καὶ διότι τοὺς οἰκήτορας αὐτῆς ποιεῖ καινὴν κτίσιν, ἀπηλλαγμένην φθορᾶς. Ἀπὸ τοῦ οὐρανοῦ δὲ λέγεται καταβαίνειν· οἱ γὰρ ταύτην διάγοντες, ὡς οὐράνιοί εἰσι, καί τοι ἐν γῇ διατρίβοντες, ὑψούμενοι ἀπὸ τῆς περιπετείας καὶ χθαμαλότητος τῶν γηΐνων, καὶ μετάρσιοι κατὰ τὴν ἀγγελικὴν διαγωγὴν γενόμενοι. Ἀπὸ Θεοῦ δὲ λέγεται, ὅτι αὐτὸς ὁ Θεὸς ἐδίδαξε καὶ παρέδωκε ταύτην τὴν θεάρεστον πολιτείαν, καὶ ὅτι ἀνάγει ἡμᾶς πρὸς τὸν Θεὸν, καὶ πρὸς τὴν οὐράνιον Ἱερουσαλὴμ, ἥτις ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Ταύτης δὲ τὴν γνῶσιν καὶ τὴν ἀνάμνησιν ὀφείλομεν ἡμεῖς τηρεῖν ἀνεπίληστον ἐν ταῖς καρδίαις ἡμῶν, οἷον ἐγγεγραμμένην καὶ ἐντετυπωμένην ἐν ταῖς φρεσίν. Ἔτι δὲ χρὴ ἡμᾶς ἔχειν ἐν καρδίᾳ γεγραμμένον καὶ τὸ ὄνομα τοῦ Θεοῦ τὸ καινὸν, ὅπερ ἐστὶν ἡ ἐνανθρώπησις αὐτοῦ, ἡ γενομένη ἐν νέοις καιροῖς, ἤτοι ἐσχάτοις, καὶ ἧς οὐκ ἔστιν ὑπὸ τὸν ἥλιον καινότερον.

13 Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

14 Καὶ τῷ ἀγγέλῳ τῆς ἐκκλησίας Λαοδικέων γράψον· Τάδε λέγει ὁ ἀμὴν, ὁ μάρτυς ὁ πιστὸς καὶ ἀληθινὸς, ἡ ἀρχὴ τῆς κτίσεως τοῦ Θεοῦ.

Ἀρχὴ τῆς κτίσεως τοῦ Θεοῦ λέγεται ὁ Κύριος ἡμῶν Ἰησοῦς

Χριστὸς, οὐχ ὅτι ἔκτισται πρὸ τῶν λοιπῶν κτισμάτων, ὥσπερ ἐβλασφήμει Ἄρειος, ἀλλ' ὅτι ἐστὶν ἄρχων καὶ ἐξουσιαστὴς πάσης τῆς κτίσεως· πάντα γὰρ δι' αὐτοῦ ἐγένετο.

15 Οἶδά σου τὰ ἔργα, ὅτι οὔτε ψυχρὸς εἶ, οὔτε ζεστός· ὄφελον ψυχρὸς εἴης ἢ ζεστός.

16 Οὕτως ὅτι χλιαρὸς εἶ, καὶ οὔτε ψυχρὸς, οὔτε ζεστὸς, μέλλω σε ἐμέσαι ἐκ τοῦ ςόματός μου.

Ψυχρός ἐστιν ὁ μήπω βαπτισθεὶς, καὶ μηδέπω δεξάμενος τὴν χάριν τοῦ ζέοντος καὶ ζωοποιοῦντος ἁγίου Πνεύματος· ζεστὸς δὲ, ὁ βαπτισθεὶς καὶ δεξάμενος τὴν πνευματικὴν θερμότητα· χλιαρὸς δὲ, ὁ βαπτισθεὶς μὲν καὶ λαβὼν τὴν χάριν τοῦ ζωοποιοῦ Πνεύματος, δι' ἀμέλειαν δὲ καὶ διὰ τὴν πρὸς τὰ γήϊνα σχέσιν, προσπάθειάν τε καὶ ἀγάπην, καταμαράνας τὴν πνευματικὴν θερμότητα, καὶ ἀπογνοὺς τὴν σωτηρίαν. Ὁ οὖν μήπω βαπτισθεὶς κρείττων ἐστὶ τοῦ βαπτισθέντος μὲν, ἀποστερηθέντος δὲ τῆς χάριτος· καὶ τοῦτο σημαίνει τὸ εἰπεῖν, ὄφελον ψυχρὸς εἴης. Ὥσπερ οὖν τὸ χλιαρὸν ναυτίαν ποιεῖ, καὶ πρὸς ἐμετὸν ὀτρύνει, τὸν αὐτὸν τροπον καὶ ὁ ταῖς βεβήλοις πράξεσι κατασβέσας τὴν θερμότητα τοῦ ἁγίου Πνεύματος, ἀπόβλητος γίνεται παρὰ Θεῷ, καὶ ἀπερριμμένος ἀπὸ τῆς οἰκειότητος αὐτοῦ, ὡς τὸ ἀπὸ στόματος ἐναποχρεμφθέν. Ἀλλὰ καὶ ἡ ἀποβολὴ τῶν ἁμαρτωλῶν γίνεται διὰ τοῦ λόγου τοῦ στόματος αὐτοῦ.

17 Ὅτι λέγεις, ὅτι πλούσιός εἰμι, καὶ πεπλούτηκα, καὶ οὐδενὸς χρείαν ἔχω· καὶ οὐκ οἶδας, ὅτι σὺ εἶ ὁ ταλαίπωρος, καὶ ἐλεεινὸς καὶ πτωχὸς, καὶ τυφλὸς καὶ γυμνός.

Ὅρα, ὡς οἱ πεποιθότες τῷ πλούτῳ τῷ κοσμικῷ, πίπτουσιν ἐν ταλαιπωρίᾳ, καὶ πτωχεύουσιν ἀπὸ τῆς χάριτος τοῦ Θεοῦ, καὶ ἀπολύουσι τὸ θεϊκὸν φῶς, καὶ γυμνοῦνται τῆς περιβολῆς τῆς θείας δόξης.

18 Συμβουλεύω σοι ἀγοράσαι παρ' ἐμοῦ χρυσίον πεπυρωμένον ἐκ πυρὸς, ἵνα πλουτήσῃς· καὶ ἱμάτια λευκὰ, ἵνα περιβάλῃ, καὶ οὐ μὴ φανερωθῇ ἡ αἰσχύνη τῆς γυμνότητός σου· καὶ κολλύριον ἔγχρισον τοὺς ὀφθαλμούς σου, ἵνα βλέπῃς.

Χρυσίον καὶ ἀργύριόν ἐστι τὰ τοῦ Κυρίου λόγια κατὰ τὸ, «Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου» (1). Λέγεται δὲ πεπυρωμένα ἐκ πυρὸς, ὅτι κεκαθαρμένα εἰσὶν ἀπὸ πάσης δολιότητος, ὡς ὁ ἐν χωνείᾳ καθαρθεὶς χρυσός. Τούτων φρόνιμος ἔμπορος γίνεται, ὅστις ἐξάγει ἐκ τοῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ, ὥς φησιν ὁ Κύριος, καινὰ καὶ παλαιὰ (2), τουτέστιν, ἐκ μὲν τῶν παλαιῶν ἐναρέτων ἀνδρῶν ἄριστα ὑποδείγματα· ἐκ δὲ τῆς αὐτοῦ σπουδῆς καινουργηθείσας θεοφιλεῖς ἀρετὰς, κοσμούσας τοὺς ἔχοντας, καὶ ἐνδυούσας αὐτοὺς ὡς ἱμάτια ἔνδοξα καὶ λαμπρὰ, ποιουμένας τε αὐτὸν ἀνενδεῆ τε καὶ ὑπερόπτην τῶν κοσμικῶν κτημάτων, ὧν ἡ ὑπεροψία καὶ ἐξουθένησις, ὥσπερ κολλύριον ἐπιχρίεται, καὶ ἀποσμήχει τοὺς ψυχικοὺς ὀφθαλμοὺς, καὶ ποιεῖ αὐτοὺς καθαρῶς ἐποπτεύειν τὸ φῶς τὸ θεϊκόν· ἡ γὰρ ἀγάπη τοῦ πλούτου καὶ αἱ δωρεαὶ τυφλοῦσι τοὺς πλεονεκτικούς. Αὕτη δὲ ἡ περιφρόνησις τῶν γηΐνων ἀγοράζεται παρὰ τοῦ Θεοῦ τοῖς ἀντικαταλλαττομένοις ταύτην σπουδῇ καὶ ἐπιμελείᾳ καὶ προσοχῇ τῶν θείων λογίων.

(1) Ψαλμ. ριή, 72. (2) Ματθ. ιγ', 52.

19 Ἐγὼ ὅσους ἐὰν φιλῶ, ἐλέγχω καὶ παιδεύω· ζήλωσον οὖν καὶ μετανόησον.

Τούτῳ συνᾴδει τὸ εἰρημένον παρὰ τοῦ σοφοῦ Παροιμιαστοῦ· «Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται» (1). Αὕτη δὲ ἡ τοῦ Κυρίου παιδεία μετάνοιαν ἐπὶ τοῖς παρῳχημένοις ἁμαρτήμασι, καὶ ζῆλον πρὸς ἐργασίαν τοῦ καλοῦ ἀπεργάζεται.

20 Ἰδοὺ ἕστηκα ἐπὶ τὴν θύραν καὶ κρούω· ἐάν τις ἀκούσῃ τῆς φωνῆς μου, καὶ ἀνοίξῃ τὴν θύραν, εἰσελεύσομαι πρὸς αὐτὸν, καὶ δειπνήσω μετ' αὐτοῦ, καὶ αὐτὸς μετ' ἐμοῦ.

Ἐπειδὴ ὁ Θεὸς ἐν ἀρχῇ τὸν ἄνθρωπον αὐτεξούσιον ἔπλασεν, οὐκ ἀναγκάζει αὐτὸν, ἵνα μὴ ἀφέληται ὃ ἔδωκεν αὐτῷ χάρισμα, ἀλλὰ ζητεῖ καὶ προσμένει ἑκούσιον καὶ αὐτοπροαίρετον τὴν ἐργασίαν τῶν καλῶν· διὸ λέγει· Ἰδὼ ἕστηκα, κρούω δὲ τὴν θύραν τῆς καρδίας αὐτοῦ, ἤτοι ἀφυπνίζει αὐτὸν ταῖς παραινέσεσι τῶν ἁγίων, καὶ ταῖς ὠφελίμοις εἰσηγήσεσι, καὶ διεγείρει τὴν σύνεσιν αὐτοῦ πρὸς κατάληψιν τῶν σωτηρίων. Εἰ οὖν ὁ ἁμαρτήσας ἀκούσῃ αὐτοῦ τῶν λόγων, καὶ κατανυγεὶς ἀνοίξῃ τὴν θύραν τῆς καρδίας, καὶ εἰσδέξηται τὴν θείαν παραίνεσιν, εἰσελεύσεται ἡ χάρις τοῦ Θεοῦ, καὶ κατοικήσει ἐν αὐτῷ δι' ἄφατον ἔλεος καὶ ἀνείκαστον ἀγαθότητα. Καὶ χαίρει ὁ Θεὸς ἐπὶ τῇ μετανοίᾳ, οἷον ἐμφορούμενος, ὡς ἐμφορεῖται ὁ δειπνῶν· λέγει γὰρ ἐν Εὐαγγελίοις· «Ἐμὸν βρῶμά ἐστιν, ἵνα ποιῶ τὸ θέλημα τοῦ πέμψαντός με, καὶ τελειώσω αὐτοῦ τὸ ἔργον» (2), ὅπερ ἐστὶν ἡ σωτηρία τῶν ἁμαρ-

(1) Παροιμ. γ', 12. (2) Ἰωαν. δ', 34.

τανόντων· τοῦτο δηλοῖ τὸ δειπνήσω μετ᾽ αὐτοῦ. Τὸ δὲ καὶ αὐτὸς μετ᾽ ἐμοῦ, δηλοῖ, ὅτι καὶ ὁ μετανοήσας ἀπὸ τῶν κακῶν, ἀπαλλαγεὶς τῆς ψυχικῆς πείνης, ἐμπλησθήσεται καὐτὸς τῆς πνευματικῆς τροφῆς, ἥτις ἐστὶ τὰ θεῖα λόγια, καὶ τῆς ἀπολαύσεως τῶν αὐτοῦ ἀγαθῶν.

21 Ὁ νικῶν, δώσω αὐτῷ καθίσαι μετ᾽ ἐμοῦ ἐν τῷ θρόνῳ μου, ὡς κἀγὼ ἐνίκησα καὶ ἐκάθισα μετὰ τοῦ Πατρός μου ἐν τῷ θρόνῳ αὐτοῦ.

Ὅτι μὲν ὁ Υἱὸς τοῦ Θεοῦ οὐδέποτε διέλειπε τῆς δόξης καὶ μεγαλοπρεπείας τοῦ Πατρὸς, ὁμόδοξος αὐτῷ ὡς ὁμοούσιος ὑπάρχων, πᾶσι τοῖς εὐσεβέσι πρόδηλον καὶ ὁμολογούμενον· λέγεται δ᾽ ὅμως, ὅτι μετὰ τὸ ἀναληφθῆναι εἰς οὐρανοὺς ἐκάθισεν ἐν δεξιᾷ τοῦ Πατρὸς, οὐχ ὅτι προσθήκην δόξης ἐκληρώσατο ἡ αὐτοῦ θεότης, ἀλλ᾽ ὅτι ἡ ἀνθρωπότης, ἡ ἑνωθεῖσα ἐν αὐτῷ, συνεδοξάσθη τῇ αὐτοῦ θεότητι, καὶ προσκυνεῖται ὁ αὐτὸς Ἰησοῦς Χριστὸς Θεὸς καὶ ἄνθρωπος μιᾷ προσκυνήσει διὰ τὴν ἄκραν συνάφειαν· ὑπαινίττεται οὖν ἐνταῦθα, ὅτι ἡ ἀνθρωπότης αὐτοῦ συνεκάθισε μετὰ τοῦ Πατρὸς ἐπὶ τοῦ θρόνου τῆς θείας μεγαλειότητος, διότι ἠγωνίσατο καὶ νενίκηκε τὸν διάβολον τῷ σταυρῷ καὶ τοῖς παθήμασι, θρόνου ἐνταῦθα ἐννοουμένου τοῦ ὑπερτάτου βαθμοῦ καὶ τῆς δόξης. Λέγει οὖν, ὅτι ὁ ἀγωνισάμενος καὶ νικήσας τὸν διάβολον ἐν ταύτῃ τῇ ζωῇ, ἀπολαύσει τῆς δόξης τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῇ μελλούσῃ ἀτελευτήτῳ βιωτῇ.

22 Ὁ ἔχων οὖς ἀκουσάτω τί τὸ πνεῦμα λέγει ταῖς ἐκκλησίαις.

## ΚΕΦΑΛΑΙΟΝ Δ΄.

1 Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ θύρα ἠνεῳγμένη ἐν τῷ οὐρανῷ, καὶ ἡ φωνὴ ἡ πρώτη, ἣν ἤκουσα, ὡς σάλπιγγος λαλούσης μετ᾽ ἐμοῦ, λέγουσα· Ἀνάβα ὧδε, καὶ δείξω σοι ἃ δεῖ γενέσθαι μετὰ ταῦτα.

Ὁ οὐρανὸς οὐκ ἔχει θύραν, ὁτὲ μὲν ἀνοιγομένην, ὁτὲ δὲ κλειομένην, ἀλλὰ θύραν ἐνταῦθα λέγει τὴν ἀποκάλυψιν καὶ δήλωσιν τῶν θεωρουμένων, ἣν ὡς θύραν ἀνεῳγμένην λέγει ὁ παρὼν Εὐαγγελιστής. Ὡσαύτως καὶ τὸ, ἀνάβηθι, οὐκ ἀνάβασιν δηλοῖ αἰσθητὴν, ἀλλὰ μετεώρησιν τῆς διανοίας καὶ ἀνύψωσιν ἐπὶ τὴν κατανόησιν τῶν οὐρανίων· διὰ τοῦτο ἐπάγει.

2 Καὶ εὐθέως ἐγενόμην ἐν πνεύματι· καὶ ἰδοὺ, θρόνος ἔκειτο ἐν τῷ οὐρανῷ, καὶ ἐπὶ τοῦ θρόνου καθήμενος.

3 Καὶ ὁ καθήμενος ἦν ὅμοιος ὁράσει λίθῳ ἰάσπιδι καὶ σαρδίῳ· καὶ ἶρις κυκλόθεν τοῦ θρόνου ὁμοία ὁράσει σμαραγδίνῳ.

Ἀφ᾽ οὗ ἐσημειώθη καὶ ἐτυπώθη ὁ παρὼν Εὐαγγελιστὴς ἀπὸ τοῦ Πνεύματος, ἑώρακε καὶ κατενόησε τοῖς πνευματικοῖς ὀφθαλμοῖς θρόνον ἐν τῷ οὐρανῷ, ὅπερ ἐστὶν, ἡ ἐν ἁγίοις ἐπανάπαυσις τοῦ Θεοῦ, καὶ ἡ ἐν αὐτοῖς ἐγκαθίδρυσις αὐτοῦ. Θρόνῳ δὲ ἀπεικάσθησαν διὰ τὸ ὑπεραρθῆναι τὸν νοῦν αὐτῶν ἀπὸ τῶν γηίνων, καὶ ἱδρυθῆναι τὰς διανοίας αὐτῶν ἐπὶ τὰ οὐράνια. Εἶδε δὲ τὸν Θεὸν καὶ Πατέρα καθήμενον ἐπὶ τοῦ θρόνου, ὅμοιον ὁράσει λίθῳ ἰάσπιδι, ὅστις ἐστὶ πράσινος τῷ χρώματι, καὶ δηλοῖ τὴν ἀειζωίαν καὶ ἀει-

θάλειαν τοῦ Θεοῦ, τοῦ καὶ διδόντος χλόην τοῖς κτήνεσι, καὶ ζωὴν πᾶσι τοῖς ζῶσι. Τὸ δὲ σάρδιόν ἐστι λίθος κόκκινος ὡς ἄνθραξ, ὃν φοβοῦνται καὶ φεύγουσι τὰ θηρία· ἔχει δὲ καὶ δύναμιν ἀναιρεῖν τὰ φαντάσματα, καὶ θεραπεύειν τὰ οἰδήματα καὶ τοὺς πόνους τοῦ σώματος, καὶ τὰς ἐκ σιδήρου ἢ ἄλλου τινὸς πληγάς. Καὶ τούτῳ ἀπεικάσθη ὁ Θεός, ὡς φοβερὸς τοῖς ἁμαρτάνουσι, κεχρημένος κρίσει δικαίᾳ, καὶ θεραπεύων τὰ ἀσθενήματα τῶν ψυχῶν τῶν μετανοούντων, ποιῶν ἔλεος μετ' αὐτῶν, καὶ ἀπαλλάττων ἀπὸ τῶν προσβολῶν τοῦ πονηροῦ. Ἡ δὲ ἶρις ἡ κύκλῳ τοῦ θρόνου αὐτοῦ εἰσιν αἱ ποικίλαι διακονίαι τῶν ἀγγέλων τῶν παρεστώτων αὐτῷ. Τὸ δὲ ἑνὶ χρώματι μόνῳ φανῆναι τὴν ἶριν, σημαίνει ὅτι αἱ διακονίαι τῶν ἀγγέλων, καίτοι ποικίλαι εἰσὶν, εἰς ἓν μέντοι συντελοῦσι. Τὸ δὲ χρῶμα αὐτῆς σμαράγδινον, σημαίνει ὅτι πάντες οἱ ἄγγελοι συνυπουργοῦσι πρὸς διαμονὴν τῆς κτήσεως, καὶ συντήρησιν τῆς χλοερότητος αὐτῆς καὶ θαλερότητος, ἤτοι τῆς ζωῆς καὶ σωτηρίας αὐτῆς.

4 Καὶ κυκλόθεν τοῦ θρόνου θρόνοι εἴκοσι καὶ τέσσαρες· καὶ ἐπὶ τοὺς θρόνους εἶδον τοὺς εἴκοσι καὶ τέσσαρας πρεσβυτέρους καθημένους, περιβεβλημένους ἐν ἱματίοις λευκοῖς· καὶ ἔσχον ἐπὶ τὰς κεφαλὰς αὐτῶν στεφάνους χρυσοῦς.

Οἱ καθήμενοι ἐπὶ τοὺς θρόνους εἰσὶν αἱ ψυχαὶ τῶν δικαίων, οἵτινες κεκοπιάκασιν ἐν ἀγαθαῖς πράξεσι, καὶ ἱδρύθησαν καὶ ἐστερεώθησαν ἐν τῷ ἀγαθῷ, ὡς ἐν θρόνῳ ἀναπαυόμενοι, καὶ ἐχρημάτισαν καὶ αὐτοὶ θρόνοι καὶ ὀχήματα τῆς ἀναπαύσεως καὶ ἐνιδρύσεως τοῦ Θεοῦ, διὰ τῆς καθαρότητος καὶ δικαιοσύνης αὐτῶν. Πρεσβύτεροι δὲ ὠράθησαν, τὸ μὲν, διότι ἐδαπάνησαν χρόνον πολὺν εἰς τὴν ἐργασίαν τοῦ καλοῦ, τὸ δὲ, διότι λήψονται βραβεῖα

καὶ ἔπαθλα οὐ νεώτερα, ἀλλ' ἡτοιμασμένα πρὸ καταβολῆς κόσμου, τὸ δὲ, διὰ τὴν ἐν τοῖς πρεσβυτέροις τελείαν σύνεσιν, ὡς καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ, τοὺς μὲν δικαίους πρεσβυτέρῳ υἱῷ ἀπείκασε, τοὺς δὲ φαύλους νεωτέρῳ. Περὶ δὲ τοῦ ἀριθμοῦ τῶν εἰκοσιτεσσάρων λέγομεν τὸ παρὰ τοῦ Ἀρέθα Καισαρείας καὶ Οἰκουμενίου ὅτι ὁ παρὼν κόσμος, ὁ ἐν ἑπτὰ ἡμέραις περιειλούμενος, περιστρέφεται μὲν περὶ τὸν Θεὸν, ὑπερέχει δὲ πάντων τῶν κτισμάτων ὁ τρισυπόστατος Θεός. Ὁ οὖν τρία ἀριθμὸς τῶν θεαρχικῶν ὑποστάσεων, πολλαπλασιάσας τὸν ἑπτὰ ἀριθμὸν τοῦ παρόντος κόσμου, ἀποτελεῖ τὸν εἰκοσιένα, προστιθεμένης δὲ καὶ τῆς Τριάδος τῆς πᾶσαν κτίσιν ὑπερεχούσης, ἀποτελεῖ τὸν εἰκοσιτέσσαρα. Τοιγαροῦν οἱ ἐν τῷ ἑβδομαδικῷ τούτῳ κόσμῳ περὶ τὸν Θεὸν στρεφόμενοι ἅγιοι, καὶ ὑπὲρ αὐτοὺς τὸν Θεὸν ἔχοντες, τὸν εἰκοσιτέσσαρα ἀριθμὸν ἀπέδωκαν. Τὰ δὲ λευκὰ αὐτῶν ἐνδύματα τὴν καθαρότητα τῆς πολιτείας αὐτῶν δηλοῖ. Οἱ δὲ χρυσοῖ στέφανοι ἐπὶ τὰς κεφαλὰς αὐτῶν σημαίνουσι τὴν βασιλείαν τὴν διαμένουσαν, ἧς ἠξιώθησαν διὰ τὸ καθαρθῆναι αὐτοὺς ὡς χρυσὸς τῷ πυρὶ τῶν θλίψεων καὶ πειρατηρίων τῶν ἐν τῷ κόσμῳ.

5 **Καὶ ἐκ τοῦ θρόνου ἐκπορεύονται ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναί· καὶ ἑπτὰ λαμπάδες πυρὸς καιόμεναι ἐνώπιον τοῦ θρόνου, αἵ εἰσι τὰ ἑπτὰ πνεύματα τοῦ Θεοῦ.**

Ἑπτὰ λαμπάδες εἰσὶ τὰ ἑπτὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος, ἤτοι πνεῦμα σοφίας, πνεῦμα ἰσχύος, πνεῦμα βουλῆς καὶ τὰ ἑξῆς, ὥς φησιν Ἠσαΐας ὁ Προφήτης (1). Οἱ δὲ ἅγιοι Εἰρηναῖος καὶ Κλήμης λέγουσιν, ὅτι εἰσὶν ἄγγελοι λειτουργοὶ τοῦ Θεοῦ τῶν ἄλλων ὑπερέχοντες. Ἑπτὰ δὲ τὸν ἀριθμὸν, διότι τοῦ ἑπταδι-

(1) Ἡσ. ιά, 2.

κοῦ τούτου κόσμου τὴν διοίκησιν καὶ ἐπίσκεψιν ἐκληρώσαντο. Λαμπάδες δὲ ὡράθησαν πυρὸς καιόμεναι ἐνώπιον τοῦ θρόνου, ὅτι ἀκάματοι καὶ ἀνένδοτοι περὶ τὸν φωτισμόν εἰσιν, ἀνωφερεῖς τε καὶ δραστήριοι ὡς πῦρ· τοῦτο γὰρ ἔφη καὶ Δαβίδ· «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα» (1). Αἱ δὲ ἀστραπαὶ καὶ βρονταὶ καὶ αἱ φωναὶ τὸ καταπληκτικὸν καὶ φοβερὸν τοῦ Θεοῦ ὑπαινίττονται, ὥσπερ καὶ ἐν τῷ ὄρει Σινᾷ νομοθετῶν ἐφάνη τῷ Μωϋσῇ.

6 Καὶ ἐνώπιον τοῦ θρόνου θάλασσα ὑαλίνη, ὁμοία κρυστάλλῳ· καὶ ἐν μέσῳ τοῦ θρόνου, καὶ κύκλω τοῦ θρόνου τέσσαρα ζῶα, γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν.

Θάλασσα δηλοῖ τὸ ἀμέτρητον καὶ ἀνείκαστον πλῆθος τῶν περὶ τὸν Θεὸν ἀγγελικῶν δυνάμεων, ὥσπερ καὶ Δανιὴλ ὁ Προφήτης ἑώρακε χιλιάδας καὶ μυριάδας ἀγγέλων (2)· ὑαλίνη δὲ θάλασσα καὶ κρυστάλλῳ ὁμοία σημαίνει τὴν λαμπρότητα καὶ ἀκτινοβολίαν καὶ καθαρότητα αὐτῶν· ἔτι δὲ, τὸ πάγιον καὶ καρτερικὸν ἐν τῇ διακονίᾳ αὐτῶν, καὶ τὴν πρὸς τοὐναντίον ἀτρεψίαν καὶ ἀκύμαντον ἡσυχίαν· οὐ γὰρ ταράσσει αὐτὴν τὰ τοῦ κόσμου πολυτάραχα πνεύματα, ὃν τρόπον ταράττει καὶ κυματοῖ τὸν παρόντα μάταιον πολυτάραχον βίον.

7 Καὶ τὸ ζῶον τὸ πρῶτον ὅμοιον λέοντι· καὶ τὸ δεύτερον ζῶον ὅμοιον μόσχῳ· καὶ τὸ τρίτον ζῶον ἔχον τὸ πρόσωπον ὡς ἄνθρωπος· καὶ τὸ τέταρτον ζῶον ὅμοιον ἀετῷ πετωμένῳ.

---

(1) Ψαλμ. ργ', 4. (2) Δαν. ζ', 10.

8 Καὶ τέσσαρα ζῶα, ἓν καθ' ἑαυτὸ ἔχον ἀνὰ πτέρυγας ἓξ κυκλόθεν, καὶ ἔσωθεν γέμοντα ὀφθαλμῶν· καὶ ἀνάπαυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτὸς, λέγοντα· Ἅγιος, ἅγιος, ἅγιος, Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ἦν, καὶ ὁ ὢν, καὶ ὁ ἐρχόμενος.

Τὰ τέσσαρα ζῶα αἰνίττεται τὰς τέσσαρας γενικὰς ἀρετὰς, καὶ τοὺς τέσσαρας Εὐαγγελιστάς. Ὁ μὲν λέων τὴν ἀνδρείαν, καὶ τὸ κατὰ Μάρκον Εὐαγγέλιον· ἐν γὰρ τῷ πρώτῳ αὐτοῦ κεφαλαίῳ, λέγει· «Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ». Ὁ δὲ μόσχος τὴν δικαιοσύνην· τρέφεται γὰρ ἀπὸ τοῦ ἰδίου κόπου, καὶ ἀρκεῖται τῷ ἀπὸ τῆς ἐργασίας αὐτοῦ, καὶ τὸ κατὰ Λουκᾶν Εὐαγγέλιον, ἀρχόμενον ἀπὸ τῆς νομικῆς ἱερωσύνης, θυσίαν μόσχων προσκομίζειν νομοθετούσης. Τὸ δὲ ἔχον πρόσωπον ἀνθρώπου, τὴν φρόνησιν, καὶ τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον· οὗτος γὰρ γράφει τὴν κατὰ ἄνθρωπον γενεαλογίαν τοῦ Χριστοῦ. Ὁ δὲ ἀετὸς τὴν σωφροσύνην· ταύτῃ γὰρ οὗτος χαρακτηρίζεται· καὶ τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, μετεωρότερον τῶν ἄλλων φθεγξάμενον, καὶ ἀπὸ θεολογίας ἀρξάμενον. Ἔτι τὰ τέσσαρα ζῶα δηλοῦσι τὰ τέσσαρα στοιχεῖα, ὁ μὲν λέων, ὡς θερμότερος καὶ ὀξύτερος, τὸ πῦρ· ὁ δὲ μόσχος, τὴν γῆν ἐργαζόμενος, σημαίνει τὴν γῆν· ὁ δὲ ἄνθρωπος, ὡς μετέωρον ἐν ἀέρι ἔχων τὴν κεφαλὴν, τὸν ἀέρα· ὁ δὲ ἀετὸς, ὡς πτηνὸν ἔχον τὴν γένεσιν ἐκ τοῦ ὕδατος κατὰ τὴν θείαν Γραφὴν, σημαίνει τὸ ὕδωρ. Ταῦτα δὲ τὰ τέσσαρα στοιχεῖα ἐνώπιον τοῦ Θεοῦ εἰσιν· ὑπὸ γὰρ τὴν ἐπισκοπὴν καὶ διοίκησιν καὶ πρόνοιαν αὐτοῦ τελεῖ. Τὸ δὲ ἔχειν αὐτὰ ἀνὰ πτέρυγας ἓξ, δηλοῖ τὴν ταχύτητα καὶ προθυμίαν καὶ εὐκινησίαν εἰς τὰς διακονίας αὐτῶν, τῷ θείῳ προστάγματι πειθόμενα· ἑώρακε γὰρ καὶ Ἡσαΐας τὰ Σεραφὶμ ἔχοντα ἓξ πτέρυγας, ταῖς μὲν δυσὶ καλύπτοντα τὰ πρόσωπα,

ταῖς δὲ δυσὶ τοὺς πόδας, καὶ ταῖς δυσὶν ἱπτάμενα καὶ κράζοντα· Ἅγιος, ἅγιος, ἅγιος καὶ τὰ λοιπά (1). Καὶ τὸ μὲν καλύπτειν τὰ πρόσωπα καὶ τοὺς πόδας σημαίνει τὸ δέος καὶ τὴν εὐλάβειαν, ἣν ἔχουσι περὶ τὰ ὑψηλότερα καὶ βαθύτερα τῆς δυνάμεως αὐτῶν· τῷ δὲ ἵπτασθαι ταῖς μεσαίαις δηλοῖ τὴν προθυμίαν εἰς ἐκτέλεσιν τῶν ἐπιταττομένων, καὶ τὴν ἔφεσιν καὶ ἀναγωγὴν αὐτῶν πρὸς τὴν θεαρχικὴν φωτοβολίαν, ἐν μέτρῳ καὶ μεσότητι. Ἔτι δὲ, ἡ ἐπικάλυψις τῶν προσώπων καὶ ποδῶν αὐτῶν σημαίνει ὅτι οὐκ ἐξερευνῶσιν ἀρχὰς τοῦ ἀπείρου καὶ ἀνάρχου Θεοῦ, οὐδὲ βάθη αὐτοῦ, οὐδὲ τοῦ ἐνανθρωπήσαντος Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν ἐνανθρώπησιν, τουτέστι τοὺς τρόπους, καθ' οὓς συνήφθη ἡ ὑπερτάτη θεία φύσις τῇ κατωτάτῃ ἀνθρωπότητι. Τὸ δὲ εἶναι αὐτὰ γέμοντα ὀφθαλμῶν ἔμπροσθεν καὶ ὄπισθεν καὶ κύκλωθεν καὶ ἔσωθεν, δηλοῖ ὅτι ὁ Θεός ἐςιν ἐπόπτης καὶ γνώστης τῶν τε παρεληλυθότων καὶ τῶν ἐσομένων· ἔτι δὲ καὶ τῶν ἔξωθεν καὶ τῶν ἔσωθεν τῶν ἐν ταῖς διανοίαις ἡμῶν· οὐδὲν γὰρ ἀποκέκρυπται τῆς γνώσεως αὐτοῦ, ἥτις διὰ τῶν πολλῶν ὀφθαλμῶν δηλοῦται. Τὸ δὲ ἀνάπαυσιν οὐκ ἔχουσιν ἡμέρας καὶ νυκτὸς, ἀντὶ τοῦ, οὐδέποτε παύουσιν ἀνυμνοῦντες καὶ δοξολογοῦντες αὐτόν· ἢ ὅτι ἄλλην ἀνάπαυσιν οὐχ ἡγοῦνται, εἰμὴ τὸ δοξολογεῖν τὸν Θεὸν τρισαγίοις ᾄσμασι, διὰ τὸ τριαδικὸν τῶν ἐν Θεῷ ὑποστάσεων, ἃ σημαίνει ὡς προέφημεν, τὸ, ὁ ἦν, καὶ ὁ ὢν, καὶ ὁ ἐρχόμενος, ἐπάγοντες ἑνικῶς, Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, διὰ τὴν ἐν ταῖς τρισὶ μίαν θεότητα καὶ κυριότητα.

9 Καὶ ὅταν δώσουσι τὰ ζῶα δόξαν καὶ τιμὴν καὶ εὐχαριστίαν τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

---

(1) Ἠσ. ς', 2.

10 Πεσοῦνται οἱ εἴκοσι καὶ τέσσαρες πρεσβύτεροι ἐνώπιον τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ προσκυνήσουσι τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ βαλοῦσι τοὺς στεφάνους αὐτῶν ἐνώπιον τοῦ θρόνου, λέγοντες.

11 Ἄξιος εἶ Κύριε λαβεῖν τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν δύναμιν, ὅτι σὺ ἔκτισας τὰ πάντα, καὶ διὰ τὸ θέλημά σου εἰσὶ καὶ ἐκτίσθησαν.

Οἱ εἴκοσι τέσσαρες πρεσβύτεροι, οἵτινές εἰσιν οἱ δίκαιοι μυςαγωγούμενοι ὑπὸ τῶν ἀγγέλων, προσπίπτυσι ταπεινούμενοι καὶ συνανυμνοῦσί τε καὶ συνδοξολογοῦσι τὸν Θεόν. Τὸ δὲ προσκυνῆσαι καὶ βαλεῖν τοὺς στεφάνους ἐνώπιον τοῦ θρόνου, σημαίνει ὅτι ὁμολογοῦσι τὴν κατὰ τοῦ διαβόλυ νίκην αὐτῶν μὴ εἶναι ἔργον ἑαυτῶν, οὐδὲ ἀνθρωπίνης δυνάμεως, ἀλλὰ τῆς παρὰ τοῦ Θεοῦ αὐτοῖς δωρηθείσης διὰ τὴν ἀξιότητα αὐτῶν, μᾶλλον δὲ, διὰ τὴν ἀγαθότητα αὐτοῦ. Θρόνος δὲ Θεοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ ἐξουσία, ἐν ᾗ ἐπαναπαύεται, τουτέστιν ἑδραίως καὶ ἀμετακινήτως ἐφίδρυται εἰς αἰῶνας αἰώνων. Εὐχαριστοῦσι δὲ λέγοντες, ὅτι οἱ μὲν ἄνθρωποι, οὐ διὰ τὴν ἑαυτῶν ἀξιότητα λαμβάνουσι παρὰ σοῦ τὴν δόξαν καὶ τὴν τιμὴν, καὶ τὴν κατὰ τοῦ ἐχθροῦ δύναμιν, ἀλλὰ διὰ τὴν σὴν φιλανθρωπίαν· σὺ δὲ καὶ οἴκοθεν ἔχεις ταῦτα, καὶ ἀξίως λαμβάνεις τὴν δοξολογίαν παρὰ τῆς κτίσεως, ἣν θελήματι μόνῳ ἐδημιούργησας.

## ΚΕΦΑΛΑΙΟΝ Ε΄.

1 Καὶ εἶδον ἐπὶ τὴν δεξιὰν τοῦ καθημένου ἐπὶ τοῦ θρόνου βιβλίον γεγραμμένον ἔσωθεν καὶ ὄπισθεν, κατεσφραγισμένον σφραγῖσιν ἑπτά.

2 Καὶ εἶδον ἄγγελον ἰσχυρὸν κηρύττοντα φωνῇ μεγάλῃ. Τίς ἐστιν ἄξιος ἀνοῖξαι τὸ βιβλίον, καὶ λῦσαι τὰς σφραγίδας αὐτοῦ;

3 Καὶ οὐδεὶς ἠδύνατο ἐν τῷ οὐρανῷ, οὐδὲ ἐπὶ τῆς γῆς, οὐδὲ ὑποκάτω τῆς γῆς, ἀνοῖξαι τὸ βιβλίον, οὐδὲ βλέπειν αὐτό.

4 Καὶ ἐγὼ ἔκλαιον πολλά, ὅτι οὐδεὶς ἄξιος εὑρέθη ἀνοῖξαι καὶ ἀναγνῶναι τὸ βιβλίον, οὔτε βλέπειν αὐτό.

Βιβλίον ἐστὶν ἡ ἀλάθητος μνήμη τοῦ Θεοῦ, καὶ ἡ πάνσοφος αὐτοῦ γνῶσις, ἡ σαφῶς ἐπισταμένη, καὶ οἱονεὶ ἐμβλέπουσα ἐν βιβλίῳ ἀεὶ ἀναγινωσκομένῳ ἅπαντα τὰ τῶν ἀνθρώπων γεγραμμένα, ἔσωθεν μὲν τὰ τῶν πιστῶν ἔργα, ὄπισθεν δὲ τὰ τῶν ἀπίστων, ἀμφοτέρων ἐν τῇ δεξιᾷ ὑπαρχώντων τοῦ δημιουργοῦ· ἁπάντων γὰρ τὴν σωτηρίαν βούλεται, καὶ ἀγαπᾷ δεξιῶς δι' ἄφατον αὐτοῦ ἀγαθότητα, καὶ πάντων πρόνοιαν ποιεῖται ὡς πάντων δημιουργός. Ὅσα μὲν γὰρ πρὸς σωτηρίαν τῶν ψυχῶν ἀνήκει, ἐν δεξιᾷ εἶναι τοῦ Θεοῦ ἐννοεῖται, ὡς τῆς δεξιᾶς μερίδος, τουτέστι τῆς ὑπερβαλλούσης τιμῆς ἠξιωμένα· ὅσα δὲ πρὸς λυσιτέλειαν τοῦ σώματος, ἐν τῇ ἀριστερᾷ αὐτοῦ λέγεται. Τοῦτο μαρτυρεῖ καὶ Σολομὼν λέγων περὶ τῆς σοφίας· ὅτι ἐν μὲν τῇ δεξιᾷ

αὐτῆς ζωὴ (τὴν αἰώνιον ὑπεμφαίνων καὶ ἀείζωον ζωὴν), ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος καὶ δόξα (1), τὰ ἐν τῷ παρόντι κόσμῳ πλουτίζοντα καὶ δοξάζοντα αἰνιττόμενος. Ἀμφότερα δὲ ἐν τῷ βιβλίῳ τοῦ Θεοῦ γέγραπται, περὶ οὗ καὶ Δαβὶδ λέγει· «Τὸ ἀκατέργαστόν μου εἶδον οἱ ὀφθαλμοί σου, καὶ ἐπὶ τὸ βιβλίον σου πάντες γραφήσονται» (2). Ἐσφραγισμένον δὲ τὸ βιβλίον τοῦτο ὤφθη ἐν τῇ Ἀποκαλύψει σφραγῖσιν ἑπτά· τὰς γὰρ τοῦ ἑβδομαδικοῦ τούτου βίου περιόδους τε καὶ διαδοχάς, μεταβολάς τε καὶ διεξόδους, οὐδεὶς τῶν ἐν οὐρανῷ ἀγγέλων, οὐδὲ τῶν ἐπὶ γῆς τὰς διατριβὰς ποιουμένων ζώντων, οὐδὲ τῶν θανόντων καὶ ὑπὸ γῆν γενομένων ἀνθρώπων, δύναται ἀναπτύξαι τε καὶ ἀναγνῶναι· καὶ οὐ μόνον τὴν κατάληψιν τῶν οὔπω γεγονότων ἀφήρηνται, ἀλλὰ καὶ τοῖς ἤδη γενομένοις, καὶ οἱονεὶ ὑπ' ὄψιν παροῦσι, κατανοῆσαι καὶ τοῖς τοῦ νοὸς ὄμμασιν ἀντιβλέψαι, ἀδυνατοῦσι. Θεασάμενος οὖν ὁ Εὐαγγελιστής, ὅτι ἀπώλεσαν οἱ ἄνθρωποι τὴν τῆς τοιαύτης γνώσεως ἀξιότητα δι' αἰτίαν τῆς προγονικῆς τε καὶ προαιρετικῆς ἁμαρτίας, οἰκτείρας τὸ ἀνθρώπινον, ὡς τοῦ φιλανθρώπου Θεοῦ μαθητής, ἤρξατο κλαίειν συλλυπούμενος ἐπὶ τῇ πωρώσει τῶν ἀνθρώπων.

5 **Καὶ εἷς ἐκ τῶν πρεσβυτέρων λέγει μοι· Μὴ κλαῖε· ἰδοὺ ἐνίκησεν ὁ λέων, ὁ ὢν ἐκ τῆς φυλῆς Ἰούδα, ἡ ῥίζα Δαβίδ, ἀνοῖξαι τὸ βιβλίον καὶ λῦσαι τὰς ἑπτὰ σφραγίδας αὐτοῦ.**

Πρεσβύτεροι λέγονται οἱ χρονίως καὶ ἐπιμόνως ἐν τῷ καλῷ διαμένοντες· τοιοῦτοί εἰσιν αἱ ἀνώτεραι ἀγγελικαὶ ταξιαρχίαι, αἵτινες καὶ πρωτοδότως παρὰ τῆς ὑπεράρχου θεότητος τὰς γνώσεις τῶν ἀποῤῥήτων μυστηρίων μυούμεναι, ἀπαγγέλλουσι τοῖς

(1) Παροιμ. γ', 16. (2) Ψαλμ. ρλή, 16.

ἀξίοις, μυσταγωγοῦσαι καὶ εὐαγγελίζουσαι τούτοις παῦλαν τῶν δακρύων καὶ τῶν θλίψεων· συγχαίρουσαι δὲ καὶ ἐπὶ τῇ μετανοίᾳ καὶ δικαιώσει τῶν ἁμαρτωλῶν. Εἷς οὖν τῶν τοιούτων πρεσβυτέρων εὐαγγελιζόμενος, καὶ χαρὰν μηνύων τῷ Εὐαγγελιστῇ, λέγει· Μὴ κλαῖε, ἰδοὺ νενίκηκε τὸν ἀπατήσαντα διάβολον, καὶ τὴν ἐπισκοτοῦσαν ἁμαρτίαν ὁ Κύριος Ἰησοῦς Χριστὸς, ὅστις ὡς μὲν Θεὸς τέλειος διά τε τὸ ἀνδρεῖον καὶ νικητικὸν καὶ βασιλικὸν αὐτοῦ, λέων προηγόρευται παρὰ τοῦ πατριάρχου Ἰακὼβ, ἐπευλογοῦντος τὸν Ἰούδαν· «Ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, καὶ ὡσεὶ σκύμνος, τίς ἐγερεῖ αὐτον;» (1)· ὡς δὲ καὶ τέλειος ἄνθρωπος γενόμενος, λέγεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος ἐκ φυλῆς Δαβὶδ κατὰ τὸν Ἡσαΐαν (2). Οὗτος ἤνοιξε τὸ βιβλίον, ἀναπτύξας τοῖς εἰς αὐτὸν πιστεύουσιν, ὅτι Θεός ἐστι προαιώνιος, καὶ ὕστερον γενόμενος ἄνθρωπος διὰ τὴν τοῦ κόσμου σωτηρίαν, καὶ τὰς σφραγίδας ἔλυσεν, ἤτοι τὰ θεῖα μυστήρια τὰ ἀπ' αἰῶνος ἀποκεκρυμμένα ἀπεκάλυψεν ἡμῖν, δι' ἧς δέδωκε δυνάμεως, καὶ διήνοιξεν ἡμῶν τὸν νοῦν τοῦ συνιέναι τὰς Γραφάς.

6 Καὶ εἶδον, καὶ ἰδοὺ ἐν μέσῳ τοῦ θρόνου καὶ τῶν τεσσάρων ζώων, καὶ ἐν μέσῳ τῶν πρεσβυτέρων, ἀρνίον ἑστηκὸς ὡς ἐσφαγμένον, ἔχον κέρατα ἑπτὰ, καὶ ὀφθαλμοὺς ἑπτὰ, οἵ εἰσι τὰ ἑπτὰ τοῦ Θεοῦ πνεύματα τὰ ἀπεσταλμένα εἰς πᾶσαν τὴν γῆν.

Ἀρνίον ἐστὶν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, περὶ οὗ ὁ μὲν τίμιος Πρόδρομος ἔφη· «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου» (3). Ὁ δὲ Ἡσαΐας προειρηκὼς, ὡς ἀπὸ προσώπου τοῦ Σωτῆρος εἶπεν· Ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον, ἀγόμενον τοῦ θύεσθαι. Τούτου τύπος ἦν ἡ κατὰ τὸ Πάσχα τῶν

(1) Γεν. μθ', 9. (2) Ἡσ. ιά, 1. (3) Ἰωαν. ά, 29·

Ἰȣδαίων σφαγὴ τοῦ ἀμνοῦ, δηλοῦντος τὴν ἀπὸ τῆς δουλείας τοῦ Φαραὼ ἀπολύτρωσιν τοῦ Ἰσραηλιτικοῦ λαοῦ, καὶ προμηνύοντος τὴν ἀπαλλαγὴν τοῦ νέου Ἰσραὴλ ἀπὸ τῆς νοητῆς δουλείας τοῦ νοητοῦ Φαραώ. Τοῦτο τὸ ἀρνίον ὁ Κύριος ἡμῶν ἐστιν. Ἑστηκὼς δὲ καὶ διεγρηγορώς, καὶ μέσον ἁπάντων ἱστάμενος, ὡς τὰ πάντα συνέχων καὶ διακρατῶν. Ὡς ἐσφαγμένον δὲ τὸ ἀρνίον καὶ οὐκ ἐσφαγμένον λέγει, ὅτι εἰ καὶ ἐσφάγη διὰ τοῦ σταυροῦ, καὶ τοῦ θανάτȣ ὡς ἄνθρωπος, ἀνέστη μέντοι τριήμερος ὡς Θεός, καὶ ἡ σφαγὴ οὐ κατεκράτησεν αὐτοῦ, οὐδὲ ἡ σὰρξ αὐτοῦ κατελείφθη ἰδεῖν διαφθοράν. Τὰ δὲ ἑπτὰ κέρατα δηλοῦσι τὴν ἐπὶ πάντα τὰ ὄντα πανσθενεστάτην αὐτοῦ δύναμιν. Ἑπτὰ δὲ ὀφθαλμοὶ αὐτοῦ εἰσι τὰ ἑπτὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος, τὰ ἐνοικήσαντα ἐν τῇ αὐτοῦ ἀνθρωπότητι, ἅτινα Ἠσαΐας προηγόρευσε, λέγων· «Ἐπαναπαύσεται ἐπ' αὐτὸν πνεῦμα σοφίας, συνέσεως, γνώσεως, βουλῆς, δυνάμεως, εὐσεβείας καὶ φόβου Θεοῦ» (1).

7 **Καὶ ἦλθε καὶ εἴληφε τὸ βιβλίον ἐκ τῆς δεξιᾶς τοῦ καθημένου ἐπὶ τοῦ θρόνου.**

Ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς κατὰ μὲν τὴν θεότητα αὐτοῦ ἔχει, πάνθ' ὅσα ἔχει ὁ Πατὴρ καὶ τὸ ἅγιον Πνεῦμα· κατὰ δὲ τὴν ἀνθρωπότητα αὐτοῦ, καθ' ἣν καὶ ἐσφαγμένον ἀρνίον ὤφθη, λέγεται εἰληφέναι τὸ βιβλίον, ἤτοι τὴν γνῶσιν τῶν ὅλων παρὰ τοῦ καθημένου ἐπὶ τοῦ θρόνȣ Θεοῦ. Κατὰ τοῦτο τὸ σημαινόμενον νοητέον, καὶ ὅπερ αὐτὸς ὁ Κύριος ἔφη μετὰ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάςασιν· «Ὅτι ἐδόθη μοι πᾶσα ἐξȣσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς» (2).

8 **Καὶ ὅτε ἔλαβε τὸ βιβλίον, τὰ τέσσαρα ζῶα, καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσον ἐνώπιον**

(1) Ἡσ. ιά, 2. (2) Ματθ. κή, 18.

τοῦ ἀρνίου, ἔχοντες ἕκαστος κιθάρας καὶ φιάλας
χρυσᾶς, γεμούσας θυμιαμάτων, αἵ εἰσιν αἱ προσ-
ευχαὶ τῶν ἁγίων.

Τὰ τέσσαρα ζῶά εἰσι δυνάμεις ἀγγελικαὶ, παριστῶσαι τὴν δύναμιν τοῦ Θεοῦ, δι' ἧς καλῶς διεξάγει τὸν ἐκ τεσσάρων στοιχείων συγκείμενον κόσμον. Αὗται τοίνυν καὶ οἱ πρεσβύτεροι, οὓς προειρήκαμεν, ἔπεσον ἐνώπιον τοῦ ἀρνίȣ, τὴν μετὰ ταπεινώσεως προσκύνησιν τῷ θεανθρώπῳ προσφέροντες, καὶ εὐχαριστοῦντες αὐτῷ ἐπὶ τῇ καταργήσει τοῦ διαβόλου, καὶ σωτηρίᾳ τοῦ ἀνθρωπίνου γένους. Αἱ δὲ κιθάραι σημαίνουσι τὴν ἐναρμόνιον καὶ εὐφρόσυνον αὐτῶν δοξολογίαν. Αἱ δὲ χρυσαῖ φιάλαι δηλοῦσι τὰς κεκαθαρμένας καὶ δοκίμους διανοίας αὐτῶν. Τὰ δὲ θυμιάματά εἰσιν αἱ εὐώδεις καὶ εὐπρόσδεκτοι προσευχαὶ τῶν ἁγίων, αἱ ἐξιλάσκουσαι τὴν κατὰ τῶν ἁμαρτανόντων δικαίαν τοῦ Θεοῦ ἀγανάκτησιν.

9 Καὶ ᾄδουσιν ᾠδὴν καινὴν, λέγοντες· Ἄξιος εἶ,
Κύριε, λαβεῖν τὸ βιβλίον καὶ ἀνοῖξαι τὰς σφραγί-
δας αὐτοῦ, ὅτι ἐσφάγης καὶ ἠγόρασας τῷ Θεῷ
ἡμᾶς ἐν τῷ αἵματί σου, ἐκ πάσης φυλῆς καὶ γλώσ-
σης, καὶ λαοῦ, καὶ ἔθνους.

10 Καὶ ἐποίησας ἡμᾶς τῷ Θεῷ βασιλεῖς καὶ
ἱερεῖς, καὶ βασιλεύσομεν ἐπὶ τῆς γῆς.

Ἡ ἀνθρωπότης τοῦ Θεοῦ λόγου διὰ τὸ σφαγιασθῆναι ὑπὲρ τῆς τῶν ἀνθρώπων σωτηρίας ἠξίωται καὶ παρὰ τῶν λογικῶν κτισμάτων θεοπρεποῦς λατρείας· διὸ καὶ ἤκουσεν ἄξιος εἶ κτλ. Κατὰ

τοῦτο τὸ σημαινόμενόν ἐστι καὶ τὸ ὑπὸ τοῦ Παύλου εἰρημένον· «Διὰ τοῦτο καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, καὶ ἐχαρίσατο αὐτῷ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα» (1). Καὶ ἐπειδὴ καινὸν γέγονεν ἱλαστήριον τῷ αἵματι τοῦ Χριστοῦ, ᾧ ἀνεκαινίσθημεν καὶ ἡμεῖς, τῆς παλαιότητος τοῦ γραπτοῦ νόμου ἀπαλλαγέντες, διὰ τοῦτο καινὴ καὶ ἡ ᾠδὴ προσηγόρευται τῶν καινὴν πολιτείαν διανῦσαι διδαχθέντων. Διὰ δὲ τῆς ἐκ προθέσεως, ἐν τῷ εἰπεῖν· ἠγόρασας ἡμᾶς ἐκ πάσης φυλῆς, δεδήλωκεν ὅτι οὐ πάντας, ἀλλὰ μόνον τὸς πιστεύοντας σώζει τῷ αἵματι αὐτοῦ, ὅπερ δέδωκε τῷ Θεῷ καὶ Πατρὶ ἀντίλυτρον ἡμῶν τῶν διὰ τὴν ἁμαρτίαν πεπραμένων τῷ διαβόλῳ· καὶ τοῦτό ἐστι τὸ, ἠγόρασας ἡμᾶς τῷ Θεῷ ἐν τῷ αἵματί σου, ἀντὶ τοῦ ἐξιλέωσας τὸν Θεὸν καὶ Πατέρα τῷ αἵματί σε, καὶ ἀπήλλαξας ἡμᾶς τοῦ διαβόλε, καὶ ἐνεχείρισας τῷ Θεῷ. Ἀλλὰ μὴν καὶ βασιλεῖς ἡμᾶς κατέστησας καὶ ἱερεῖς, τουτέστι δύναμιν δέδωκας ἡμῖν κυριεύειν τῶν παθῶν ἐν τῷ παρόντι αἰῶνι, ἐν δὲ τῷ μέλλοντι κληρονομεῖν τὴν αἰώνιον βασιλείαν. Ἱερεῖς δὲ, ἵνα θυσίαν εὐπρόσδεκτον τὰ σώματα προσάγωμεν τῷ Θεῷ διὰ τῆς σωφροσύνης καὶ ἐγκρατείας. Ἀλλά γε καὶ βασιλεύουσιν ἐπὶ γῆς πολλοὶ τῶν βασιλέων τοῦ κόσμου, ὅσοι εἰς Χριστὸν πιστεύουσι.

11 Καὶ εἶδον καὶ ἤκουσα φωνὴν ἀγγέλων πολλῶν κυκλόθεν τοῦ θρόνου καὶ τῶν ζώων, καὶ τῶν πρεσβυτέρων· καὶ ἦν ὁ ἀριθμὸς αὐτῶν μυριάδες μυριάδων, καὶ χιλιάδες χιλιάδων.

12 Λέγοντες φωνῇ μεγάλῃ· Ἄξιον τὸ ἀρνίον τὸ ἐσφαγμένον λαβεῖν τὴν δύναμιν καὶ πλοῦτον καὶ

(1) Φιλιπ. β', 9.

σοφίαν καὶ ἰσχὺν καὶ τιμὴν καὶ δόξαν, καὶ εὐ-
λογίαν.

13 Καὶ πᾶν κτίσμα ὅ ἐστιν, ἐν τῷ οὐρανῷ, καὶ
ἐν τῇ γῇ, καὶ ὑποκάτω τῆς γῆς, καὶ ἐπὶ τῆς θα-
λάσσης ἅ ἐστι, καὶ τὰ ἐν αὐτοῖς πάντα, ἤκουσα
λέγοντας· Τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, καὶ τῷ ἀρ-
νίῳ ἡ εὐλογία καὶ ἡ τιμὴ, καὶ ἡ δόξα, καὶ τὸ
κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

14 Καὶ τὰ τέσσαρα ζῶα ἔλεγον, Ἀμήν· καὶ οἱ
εἰκοσιτέσσαρες πρεσβύτεροι ἔπεσαν καὶ προσεκύ-
νησαν τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Τὸ ἰδεῖν καὶ τὸ ἀκοῦσαι ἐνταῦθα οὐ δι' αἰσθητηρίων σωματικῶν γέγονεν, ἀλλὰ διὰ δυνάμεων πνευματικῶν τε καὶ νοερῶν, δι' ὧν τὰ ἀγγελικὰ θεάματα καὶ ἀκούσματα διαγινώσκεται. Τοιαύταις δυνάμεσι καὶ Ἡσαΐας ὁ Προφήτης ἑώρακε τὰ Σεραφὶμ, καὶ ἤκουσε τὰς ὑμνῳδίας αὐτῶν. Τοὺς δὲ ἀγγέλους μυριάδας καὶ χιλιάδας ἑωρακέναι, ὅμοιόν ἐςι τῷ εἰρημένῳ παρὰ Δανιὴλ τοῦ Προφήτου. Τὸ δὲ ἄξιόν ἐστι τὸ ἀρνίον λαβεῖν τὴν δύναμιν κτλ, τοῦτο περὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ εἴρηται· κατὰ γὰρ τὴν θεότητα ἁπάντων κρατεῖ ὁ μονογενὴς, καὶ πάντων ὑπερέχει, παρ' οὐδενὸς λαβεῖν δεόμενος. Τὸ δὲ ἀκοῦσαι πᾶν κτίσμα τῶν ἐν τοῖς οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς, ὑπαινίττεται, ὅτι τῇ ἐνανθρωπήσει τοῦ μονογενοῦς καὶ τοῖς παθήμασιν αὐτοῦ, ἄγγελοί τε καὶ ἄνθρωποι ἐγένοντο ποίμνη μία ὑπὸ διοίκησιν τοῦ ἑνὸς ποιμένος Ἰησοῦ Χριστοῦ, τοῦ καθελόντος τὸ μεσότειχον, τὸ πρὶν ἀντιφράττον

μεταξὺ ἀμφοτέρων διὰ τὴν τοῦ Ἀδὰμ παράβασιν. Διὸ καὶ οἱ πρεσβύτεροι, ἤτοι τὸ σύστημα τῶν δικαίων, καὶ πάντα τὰ κτίσματα εἶπον τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, καὶ τῷ ἀρνίῳ, ἡ εὐλογία κτλ, ὅμοιόν ἐστι τῷ παρὰ τοῦ Κυρίου μετὰ τὴν ἀνάστασιν εἰρημένῳ· «Ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς» (1), ἤτοι ἐγνώσθην καὶ ἐπὶ γῆς τοῖς ἀνθρώποις, Θεὸς τέλειος ὑπάρχων, καὶ ἐξουσίαν ἔχων τῶν τε ἐπουρανίων καὶ τῶν ἐπιγείων, καὶ ὡμολογήθην καὶ ἐπὶ γῆς, ὡς καὶ ἐν οὐρανοῖς παρὰ τῶν ἀγγέλων· διὸ καὶ πεσόντες προσεκύνησαν αὐτῷ τῷ ζῶντι εἰς αἰῶνας αἰώνων Θεῷ.

## ΚΕΦΑΛΑΙΟΝ ΣΤ΄.

1 Καὶ εἶδον ὅτε ἤνοιξε τὸ ἀρνίον μίαν ἐκ τῶν ἑπτὰ σφραγίδων, καὶ ἤκουσα ἑνὸς ἐκ τῶν τεσσάρων ζώων λέγοντος, ὡς φωνὴ βροντῆς· Ἔρχου καὶ βλέπε.

Τὸ εἶναι κεκλεισμένον τὸ προῤῥηθὲν βιβλίον καὶ ἐσφραγισμένον ἐδήλου, ὅτι οἱ ἄνθρωποι οὐκ εἶχον παῤῥησίαν, οὐδὲ ἀπολογίας ηὐπόρουν, οὐδὲ ἄξιοι ἦσαν ἀπολογήσασθαι ἐπὶ τοῖς πεπραγμένοις αὐτῶν κακοῖς πρὸ τῆς τοῦ Κυρίου ἡμῶν ἐνανθρωπήσεως· ἀνοίγει οὖν τὰς σφραγίδας, ἵνα δῷ αὐτοῖς ταύτην. Μίαν δὲ πρὸς μίαν, δηλῶν διὰ τούτου τὴν βαθμηδὸν προχώρησιν αὐτῶν, καὶ προκοπὴν εἰς τὰς τῆς παῤῥησίας καὶ τῆς οἰκειότητος τοῦ Θεοῦ ἀξίας, τὰς πορισθείσας αὐτοῖς διὰ τῆς ἐνανθρωπήσεως τοῦ

(1) Ματθ. κη΄, 18.

μονογενοῦς, τοῦ διὰ τῶν οἰκείων κατορθωμάτων τὸ ἀνθρώπινον γένος ἐπανορθώσαντος. Τὸ δὲ ἓν τῶν τεσσάρων ζώων, τὸ μετὰ βροντώδους φωνῆς εἰρηκὸς, ἔρχου καὶ βλέπε, ἐστὶν ὁ λέων, ὃς προτέτακται ἐν τῇ ἀρχῇ, καὶ σημαίνει τὴν κυριότητα τῶν ἁγίων Ἀποστόλων, οὓς κατέστησεν ὁ Κύριος βασιλεῖς καὶ ἄρχοντας ἐπὶ πᾶσαν τὴν γῆν· (ἀρχικὸν γὰρ ὁ λέων) δοὺς αὐτοῖς ἐξουσίαν κατὰ τῶν πονηρῶν δαιμόνων, καὶ οἷον διὰ βροντώδους φωνῆς τούτους ἀπήλαυνον ἀπὸ τῶν ἀνθρώπων τῷ προστάγματι αὐτῶν. Τὸ δὲ ἔρχου καὶ βλέπε, ἀντὶ τοῦ, ἔχε κατὰ διάνοιαν ἐγγεκολαμμένα τὰ ἀποκαλυπτόμενά σοι, ὦ θεατὰ τῶν ἀποκαλύψεων, ὡς ἀεὶ παρόντα. Τινὲς δὲ τῶν ἁγίων πατέρων, ἑκάστης σφραγίδος λῦσιν ἀπένειμαν ἑκάστῳ τῶν γεγονότων ἐπὶ τῆς ἐνσάρκου οἰκονομίας. Καὶ τῆς μὲν πρώτης σφραγίδος τὴν λῦσιν δηλοῦν ἔφασαν τὴν ἐκ τῆς παρθένου γέννησιν τοῦ Κυρίου· διὰ γὰρ τῆς γεννήσεως αὐτοῦ ἔλυσεν ἡμᾶς ἐκ τῶν δεσμῶν τῆς ἐν φθορᾷ σαρκικῆς γεννήσεως, συμμόρφους ποιήσας ἑαυτῷ ὁ ἐκ παρθένου γεννηθείς. Τῆς δὲ δευτέρας, τὴν διὰ τοῦ ἁγίου βαπτίσματος ἡμῶν ἀναγέννησιν, τοῦ ἐκπλύναντος ἡμᾶς ἐκ τοῦ ῥύπου τῆς σαρκικῆς γεννήσεως· ἀναγεννᾷ γὰρ ἡμᾶς ἀπαθῶς καὶ ἀφθόρως διὰ τοῦ λουτροῦ τῆς παλιγγενεσίας, ὡς καὶ αὐτὸς γεγέννηται ἀφθόρως καὶ ἀσυνδυάστως. Ἡ δὲ τῆς τρίτης, τὰ θεοπρεπῆ αὐτοῦ θαύματα δηλοῖ. Ἡ δὲ τῆς τετάρτης, τὴν ἐπὶ Ποντίου Πιλάτου παράστασιν αὐτοῦ. Ἡ δὲ τῆς πέμπτης, τὴν ἐν σταυρῷ καθήλωσιν. Ἡ δὲ τῆς ἕκτης, τὴν ἐν τῷ τάφῳ αὐτοῦ κατάθεσιν. Ἡ δὲ τῆς ἑβδόμης, τὴν μετὰ τὸ σκυλεῦσαι τὸν ᾅδην καὶ λῦσαι ἡμᾶς ἐκ τῶν δεσμῶν τοῦ θανάτου ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν.

2 Καὶ εἶδον, καὶ ἰδοὺ ἵππος λευκὸς, καὶ ὁ καθήμενος ἐπ' αὐτῷ ἔχων τόξον· καὶ ἐδόθη αὐτῷ στέφανος, καὶ ἐξῆλθε νικῶν, καὶ ἵνα νικήσῃ.

Ο ἵππος ὁ λευκὸς σημαίνει τοὺς Ἀποστόλους· οὗτοι γὰρ τῷ κηρύγματι τοῦ Εὐαγγελίου ἐλεύκαναν τὴν μελανίαν τῆς ἀσεβείας, καὶ ἐφώτισαν τὰ ἐσκοτισμένα ἔθνη. Εἷς δὲ ὁ ἵππος καὶ οὐ πολλοί· οἱ γὰρ Ἀπόστολοι, καίτοι πολλοὶ ὑπάρχοντες, ὅμως ἓν τὸ παρ' αὐτῶν κηρυττόμενον Εὐαγγέλιον, καὶ ἕνα τρόπον σύμφωνον εἶχον, καὶ μίαν πίστιν ἐκήρυξαν. Ἐποχούμενος δὲ ὁ Κύριος ἡμῶν, αὐτοῖς ἐπαναπαυόμενος καὶ ἀδιαστάτως συνών, ἐνδυναμῶν τε αὐτοὺς καὶ ἡνιοχῶν, καὶ εἰς τὸ ἑαυτοῦ θέλημα διϊθύνων, ὡς προείρηκεν Ἀβακοὺμ ὁ Προφήτης εἰπών· «Ὅτι ἐπιβήσῃ ἐπὶ τοὺς ἵππους σȣ, καὶ ἡ ἱππασία σȣ σωτηρία» (1). Τὸ δὲ ἐν χερσὶν αὐτοῦ τόξον ἡ δύναμις αὐτοῦ καὶ ἡ ἐξουσία, δι' ἧς ὡς βέλη τοὺς κήρυκας εἰς τὰ ἔσχατα τῆς οἰκουμένης ἐξέπεμψεν· οἷά περ ὁ αὐτὸς Ἀβακοὺμ προέφη· «Ἐντείνων ἐντενεῖς τὸ τόξον σου ἐπὶ σκῆπτρα, λέγει Κύριος, ποταμῶν ῥαγήσεται γῆ» (2). Τούτοις τοῖς ἱεροῖς Ἀποστόλοις δέδοται ἔπαθλον στέφανος, καὶ δόξα τῆς αἰωνίου βασιλείας, ἀνθ' ὧν κεκοπιάκασι· καὶ δι' αὐτῶν ἐξῆλθε Χριστὸς νικῶν τοὺς δαίμονας, καὶ ῥυόμενος τὰ ἔθνη τῆς πρώην εἰδωλολατρείας, καὶ εἰσέτι νικᾷ καὶ νικήσει.

3 Καὶ ὅτε ἤνοιξε τὴν δευτέραν σφραγῖδα, ἤκουσα τοῦ δευτέρου ζώου λέγοντος· Ἔρχου καὶ βλέπε.

Τὸ μὲν πρῶτον ζῶον ἦν ὁ λέων· ὁ δὲ λέων, ἐπεὶ κρατεῖ πάντων τῶν θηρίων, διὰ τοῦτο σημαίνει κἀνταῦθα τὴν ἐξουσίαν τῶν Ἀποςόλων, καὶ τὴν κατὰ τῶν νοητῶν θηρίων τῶν δαιμόνων δυναστείαν αὐτῶν, καθὰ προέφημεν. Τὸ δὲ δεύτερον ζῶον ὅμοιον μόσχῳ, ὅπερ σημαίνει τȣ̀ς ἁγίȣς μάρτυρας, οἵτινες προσήγαγον ἑαυτȣ̀ς θυσίαν λογικὴν τῷ Θεῷ, ἀντὶ τῶν μόσχων τῶν θυομένων

(1) Ἀβακ. γ΄. 8. (2) Ἀβακ. γ΄, 9.

ἐν τῇ νομικῇ λατρείᾳ, περὶ ὧν καὶ ὁ Προφητάναξ λέγει· «Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους» (1).

4 Καὶ ἐξῆλθεν ἄλλος ἵππος πυῤῥός· καὶ τῷ καθημένῳ ἐπ' αὐτῷ ἐδόθη (αὐτῷ) λαβεῖν τὴν εἰρήνην ἀπὸ τῆς γῆς, καὶ ἵνα ἀλλήλους σφάξωσι· καὶ ἐδόθη αὐτῷ μάχαιρα μεγάλη.

Ὁ ἵππος ὁ ἐρυθρὸς ὁ πυῤῥὸς αἰνίττεται τὴν θερμότητα τῆς πίστεως, καὶ τὸν διακαῆ ζῆλον τὸν ἀναφθέντα ἐν τοῖς εὐσεβέσιν ἀπὸ τῆς διδασκαλίας τῶν Ἀποστόλων, δι' ὧν καὶ τὰ θερμὰ αἵματα αὐτῶν ἐξέχεαν. Μάχαιρα δὲ μεγάλη ἡ δοθεῖσα τῷ ἐφίππῳ ἐστὶν ἡ τοῦ Θεοῦ ἀγάπη, ἥτις ὡς μάχαιρα διέκοψε καὶ διεχώρισε τοὺς εὐσεβεῖς ἀπὸ τῶν ἀπιστησάντων συγγενῶν καὶ φίλων αὐτῶν, ὑπὲρ τῆς τοῦ Θεοῦ ἀγάπης· καὶ τοῦτό ἐστιν ὅπερ χαὐτὸς εἴρηκεν ὁ Κύριος· «Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν, οὐκ ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν» (2). Αὕτη δὲ ἡ μάχαιρα, ἤτοι ἡ ἀγάπη τοῦ Θεοῦ, διεχώρισε τοὺς πιστεύσαντας ἀπό τε τῶν κακῶν πράξεων, καὶ ἀπὸ τῶν γηίνων ὀρέξεων, καὶ ἀπὸ τῆς τῶν κακῶν ὀλεθρίου ὁμονοίας. Τῆς τοιαύτης τοιγαροῦν βλαβερᾶς εἰρήνης ἀφαιρεθείσης, ἐπανέστη υἱὸς ἐπὶ πατρὶ, καὶ θυγάτηρ ἐπὶ μητρὶ, καὶ νύμφη κατὰ τῆς πενθερᾶς αὐτῆς κατὰ τὸ Κυριακὸν λόγιον, καὶ παρεδίδουν οἱ ἀσεβεῖς τοὺς εἰς Χριστὸν πιστεύσαντας συγγενεῖς αὐτῶν καὶ οἰκείους εἰς θάνατον διὰ τὴν πίστιν. Τὸ δὲ καὶ ἐδόθη αὐτῷ λαβεῖν τὴν εἰρήνην, ἀντὶ τοῦ, ἐνέδωκε καὶ συνεχώρησεν ὁ Θεὸς, μὴ κωλύσας τὴν ἀφαίρεσιν τῆς εἰρήνης, διὰ τὸ προεγνωκέναι τὴν ἐκ τούτου σωτηρίαν τῶν πολλῶν, οἵτινες καὶ ἄλλοις πλείοσιν ὑπόδειγμα ὑπομονῆς καὶ καρτερίας ἐγένοντο.

---

(1) Ψαλμ. ν', 21. (2) Ματθ. ί, 34·

5 Καὶ ὅτε ἤνοιξε τὴν τρίτην σφραγῖδα, ἤκουσα τοῦ τρίτου ζώου λέγοντος· Ἔρχου καὶ βλέπε· καὶ εἶδον, καὶ ἰδοὺ ἵππος μέλας, καὶ ὁ καθήμενος ἐπ' αὐτῷ ἔχων ζυγὸν ἐν τῇ χειρὶ αὐτοῦ.

Τὸ δὲ τρίτον ζῶόν ἐστι τὸ ὅμοιον ἀνθρώπῳ, καὶ σημαίνει ὅτι ὁ παραπεσὼν ἄνθρωπος ἀνωρθωθεὶς, καὶ δύναμιν λαβὼν κατὰ τοῦ διαβόλου διὰ τῆς λύσεως τῆς τρίτης σφραγῖδος, τουτέστι διὰ τῶν θεοπρεπῶν θαυματουργιῶν τοῦ Χριστοῦ, σκυθρωπότητα καὶ πένθος προεξένησε τῷ διαβόλῳ, ἀφαιρεθέντι τοὺς αὐτῷ λατρεύοντας, καὶ τὰ θελήματα αὐτοῦ ποιοῦντας, καὶ ἐπὶ πολὺν χρόνον κυριευομένους ὑπ' αὐτοῦ τὸ πρότερον, εἶτα γενομένους λατρευτὰς τοῦ Θεοῦ, καὶ ποιοῦντας τὰ θεῖα θελήματα, καὶ καταπολεμοῦντας τὸν κοσμοκράτορα ταῖς ἀρεταῖς, καὶ ταῖς δι' ἀγάπην Χριστοῦ χύσεσι τῶν αἱμάτων αὐτῶν· καὶ τούτου τὸ πένθος σημαίνει ὁ ἵππος ὁ μέλας. Ὁ δὲ ἐποχούμενός ἐστιν ὁ προξενήσας τὸ πένθος τῷ διαβόλῳ, περὶ οὗ προείρηται· «Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα» (1)· ὅστις κατέχει ἐν τῇ χειρὶ αὐτοῦ ζυγὸν, ἤτοι δικαιοσύνην καὶ ἐκδίκησιν δικαίαν, ὡς προείρηκεν ὁ Προφήτης Δαβὶδ λέγων· «Ἐκάθισας ἐπὶ θρόνου ὁ κρίνων δικαιοσύνην». Καὶ πάλιν· «Ὅτι ἐποίησας τὴν κρίσιν μου καὶ τὴν δίκην μου» (2).

6 Καὶ ἤκουσα φωνὴν ἐν μέσῳ τῶν τεσσάρων ζώων λέγουσαν· χοῖνιξ σίτου δηναρίου, καὶ τρεῖς χοίνικες κριθῆς δηναρίου· καὶ τὸ ἔλαιον καὶ τὸν οἶνον μὴ ἀδικήσῃς.

---

(1) Ψαλμ. ϟ'. 13. (2) Ψαλμ. θ', 14.

Ο σῖτος τιμιώτερός ἐστι τῆς κριθῆς, ὅτι ὁ μὲν, τροφή ἐστι τῶν λογικῶν ἀνθρώπων, ἡ δὲ, τῶν κτηνῶν τῶν δουλευόντων τῷ ἀνθρώπῳ· καὶ ἡ μὲν κριθὴ προβλαστάνει τοῦ σίτου, ὁ δὲ σῖτος μετὰ τὴν κριθήν. Σίτῳ μὲν παρεικάζεται τὸ κήρυγμα τοῦ Εὐαγγελίου καὶ οἱ ὀπαδοὶ αὐτοῦ, κριθῇ δὲ ἡ Μωσαϊκὴ Διαθήκη καὶ οἱ τῆς νομικῆς λατρείας ὀπαδοί· καὶ ὅτι οἱ μὲν τοῦ Εὐαγγελίυ κρείττονες, οἱ δὲ τῆς παλαιᾶς Διαθήκης ἥττονες, πρόδηλον· οἱ μὲν γὰρ ἐντελεστέρας καὶ λογικωτέρας διδασκαλίας τετυχήκασιν, οἱ τοῦ Εὐαγγελίου· οἱ δὲ τῆς παλαιᾶς, ἀτελεστέρας τε καὶ δουλευούσης τῇ τοῦ Χριστοῦ λογικῇ διδασκαλίᾳ. Προσέτι σίτῳ παρεικάζονται οἱ τὸ θεοειδὲς κατ' εἰκόνα ἀπαραχάρακτον φυλάξαντες, καὶ βίον ἀπηλλαγμένον τῶν προαιρετικῶν ἁμαρτημάτων διανύσαντες· κριθῇ δὲ, οἱ ἁμαρτίαις ἐμπεσόντες· ἔτι δὲ, καὶ οἱ ἐν καιρῷ διωγμοῦ διὰ φόβον τῶν σωματικῶν κολαστηρίων τὴν πίστιν ἀρνησάμενοι, εἶτα μεταγνόντες, καὶ διὰ καθαρᾶς μετανοίας ἀπὸ τοῦ ὀλεθρίου βόθρου ἀναθορήσαντες. Οὗτοι ἀμφότεροι μισθὸν τοῦ πόνου τῆς μετανοίας λαμβάνουσιν ἀνὰ ἓν δηνάριον, ὅπερ ἐστὶν ἡ βασιλεία καὶ ἀπόλαυσις τοῦ Θεοῦ, μία μόνη οὖσα, καὶ μηδὲν παράμιλλον ἔχουσα, ἥν περ δίδωσιν ὥσπερ δηνάριον ὁ κύριος τοῦ ἀμπελῶνος τοῖς μέχρις ὀψίας τῆς ζωῆς αὐτῶν ἐργαζομένοις ἐν τῷ ἐμπιστευθέντι ἀμπελῶνι τῆς ψυχῆς αὐτῶν. Τὸ δὲ τριαδικὸν τῶν χοινίκων τῆς κριθῆς σημαίνει τὴν ἐν τῷ ᾅδῃ τριήμερον τοῦ Κυρίου διατριβὴν ὑπὲρ τῆς σωτηρίας τῶν τε πρὸ νόμου τοῦ Μωϋσέως, καὶ τῶν ἐν νόμῳ, καὶ τῶν ἐν τῷ Εὐαγγελίῳ· οἱ γὰρ πρὸ τοῦ Χριστοῦ θανόντες δίκαιοι ἐν ἐλπίσι μὲν τῆς σωτηρίας διετέλουν, οὔπω δὲ ταύτης τετυχηκότες ἦσαν, οὐδὲ τῆς ἐν ᾅδου καθείρξεως ἀπηλλάγησαν, εἰμὴ διὰ τῆς σταυρώσεως καὶ τοῦ θανάτου τοῦ Χριστοῦ. Τὸ δὲ, Μὴ ἀδικήσῃς τὸ ἔλαιον καὶ τὸν οἶνον, δηλοῖ ὅτι ἡ διδασκαλία τοῦ Χριστοῦ ἔχει ἔλαιον καὶ οἶνον· ἔλαιον μὲν τὰς πατρικὰς νουθεσίας, καὶ τὰς τῶν

ἀγαθῶν ἐπαγγελίας τοῖς φυλάττουσι τὰς θείας ἐντολὰς, καὶ ἐργαζομένοις τὰ καλά· οἶνον δὲ, τὴν αὐστηρίαν τῶν ἀπειλῶν· ἀπειλεῖ γὰρ τοῖς μὴ φυλάττουσι κολαστήρια αἰώνια. Τοῦτο παρῃνίξατο καὶ παραβολικῶς ὁ Κύριος εἰπὼν ἔλαιον καὶ οἶνον ἐπιχέαι τὸν Σαμαρίτην τῷ ἐμπεσόντι εἰς τοὺς λῃστὰς καὶ τραυματισθέντι (1). Κἀνταῦθα οὖν κελεύει, τὸν οἶνον καὶ τὸ ἔλαιον μὴ ἀδικηθῆναι, τουτέστιν, ὁ ταῖς φιλανθρώποις παραινέσεσιν ὑπείξας, καὶ τὰς αὐστηρὰς ἀπειλὰς φοβηθεὶς, καὶ τὰ ἐκ τῆς ἁμαρτίας αὐτοῦ τραύματα διὰ τῆς μετανοίας θεραπεύσας, οὐδὲν πείσεται κακὸν τῶν τοῖς ἀδίκοις ἐπικειμένων.

7 **Κ**αὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν τετάρτην, ἤκουσα φωνὴν τοῦ τετάρτου ζώου λέγουσαν· Ἔρχου καὶ βλέπε.

**Τ**έταρτον ζῶον ἦν ὁ ἀετός· τούτου δὲ ἴδιον τὸ ὀξυδερκὲς τὸ θερμὸν καὶ ἐνεργὸν, ὅπερ σημαίνει τὸ παντεποπτικὸν τοῦ Θεοῦ, καὶ γνωστικὸν τῶν λεπτομερεστέρων τε καὶ κρυφιωτέρων. Ἔτι δὲ καὶ τὸ θερμὸν πρὸς ἄμυναν τῶν ἀσεβῶν, καὶ ἐκδίκησιν τῶν εὐσεβῶν.

8 **Κ**αὶ εἶδον, καὶ ἰδοὺ ἵππος χλωρὸς, καὶ ὁ καθήμενος ἐπάνω αὐτοῦ, ὄνομα αὐτῷ ὁ θάνατος, καὶ ὁ ᾅδης ἀκολουθεῖ μετ' αὐτοῦ· καὶ ἐδόθη αὐτοῖς ἐξουσία ἀποκτεῖναι ἐπὶ τὸ τέταρτον τῆς γῆς ἐν ῥομφαίᾳ καὶ ἐν λιμῷ καὶ ἐν θανάτῳ, καὶ ὑπὸ τῶν θηρίων τῆς γῆς.

(1) Λουκ. ί. 34.

Τὸ μὲν χλωρὸν ἐστι χρῶμα χολῆς, ὁ δὲ ἵππος τὸ ταχύδρομον· σημαίνει οὖν ἐνταῦθα τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ Θεοῦ, ταχέως κινουμένην πρὸς ἄμυναν καὶ τιμωρίαν τῶν ἀσεβῶν, οὓς ἐν τῷ καιρῷ τοῦ κατὰ τῶν Χριστιανῶν διωγμοῦ τετιμώρηκεν ἐν πολέμῳ καὶ λιμῷ καὶ λοιμῷ, μάλιστα ἐν τῷ καιρῷ τοῦ Μαξιμιανοῦ, ὡς ἱστορεῖ Εὐσέβιος ὁ Παμφίλου (1)· ὅτε καὶ τὰ πλήθη τῶν θανόντων διὰ τὸ μὴ ἐξαρκεῖν τοὺς θάπτοντας προὔκειτο εἰς βορὰν τῶν θηρίων.

9 Καὶ ὅτε ἤνοιξε τὴν πέμπτην σφραγῖδα, εἶδον ὑποκάτω τοῦ θυσιαστηρίου τὰς ψυχὰς τῶν ἐσφαγμένων διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ διὰ τὴν μαρτυρίαν ἣν εἶχον.

10 Καὶ ἔκραξαν φωνῇ μεγάλῃ λέγοντες· Ἕως πότε ὁ δεσπότης ὁ ἅγιος καὶ ὁ ἀληθινὸς, οὐ κρίνεις καὶ ἐκδικεῖς τὸ αἷμα ἡμῶν ἀπὸ τῶν κατοικούντων ἐπὶ τῆς γῆς;

11 Καὶ ἐδόθησαν ἑκάστοις στολαὶ λευκαὶ, καὶ ἐῤῥέθη αὐτοῖς, ἵνα ἀναπαύσωνται ἔτι χρόνον μικρὸν, ἕως οὗ πληρώσονται καὶ οἱ σύνδουλοι αὐτῶν, οἱ μέλλοντες ἀποκτείνεσθαι ὡς καὶ αὐτοί.

Οἱ ἅγιοι κακουχηθέντες καὶ τὰ σώματα αὐτῶν ὑπωπιάσαντες πόνοις τε καὶ μόχθοις, ἐγκρατείᾳ τε καὶ σωφροσύνῃ, νηστείᾳ τε καὶ ἀγρυπνίᾳ, καὶ τῇ λοιπῇ κακοπαθείᾳ, μᾶλλον δὲ καὶ

(1) Εὐσεβ. Ἐκκλ. Ἱστορ. θ′, 8.

τῇ προχύσει τῶν αἱμάτων αὐτῶν δι' ἀγάπην Θεοῦ, κἀυτοί τε ἐχρημάτισαν ναοὶ Θεοῦ καὶ ἅγια θυσιαστήρια, τὰς ἀρετὰς αὐτῶν ὡς εὐώδη θυμιάματα τῷ Θεῷ προσαγαγόντες, καὶ ἑαυτοὺς θύματα εὐπρόσδεκτα προσκομίσαντες, ἅμα δὲ καὶ τοὺς τόπους, ἐν οἷς ἐπὶ γῆς ἠγωνίσαντο, ναοὺς Θεοῦ καὶ θυσιαστήρια ἀπεδείξαντο. Τούτων τὰ αἵματα καὶ οἱ ἱδρῶτες καὶ αἱ ψυχαὶ οἱονεὶ κράζουσιν ὡς τὸ αἷμα τοῦ Ἄβελ ἀπὸ γῆς φωνῇ μεγάλῃ, τουτέστιν ἐκτενῶς καὶ ἐπιμόνως ζητοῦσι τὴν κατὰ τῶν ἀσεβῶν καὶ τῶν δαιμόνων ἐπεξέλευσιν. Δηλοῖ δὲ διὰ τούτου ὁ λόγος, ὅτι ἀπαραίτητος ἔσται ἡ τῶν ἀμετανοήτων κόλασις καὶ ἡ τιμωρία, καὶ οὐ παρόψεται τὴν ζήτησιν τῶν βοώντων πρὸς αὐτὸν ἡμέρας καὶ νυκτὸς, ὁ ἅγιος καὶ ὁ ἀληθινὸς δεσπότης, ὁ εἰπών· Ἐμοὶ ἐκδίκησις, κἀγὼ ἀνταποδώσω. Αἱ δὲ στολαὶ αἱ λευκαὶ, αἱ δοθεῖσαι ἑκάστῳ αὐτῶν, σημαίνουσι τὰ λαμπρὰ χαρίσματα τῶν θαυματουργιῶν καὶ τῶν ἰάσεων, ἃ ἐν τῷ νῦν αἰῶνι ἐνεργοῦσιν οἱ ἅγιοι τοῖς μετ' εὐλαβείας καὶ πίστεως αὐτοῖς προσιοῦσιν· ἔτι δὲ καὶ τὴν παῤῥησίαν ἣν ἔλαβον πρεσβεύειν ὑπὲρ τῶν ἐπικαλουμένων αὐτούς. Καὶ ταῦτα τὰ χαρίσματα δεδώρηται τοῖς ἁγίοις, οἷον ἀῤῥαβὼν καὶ προδώρημα τῆς τελείας δόξης, τῆς οὔπω μὲν δοθείσης, ἡτοιμασμένης δὲ αὐτοῖς ἀπὸ καταβολῆς κόσμου, ἧς ἀπολαύσουσιν, ὅτε αἱ ψυχαὶ ἐνδύσονται τὰ σώματα αὐτῶν, ἄφθαρτα γεγονότα ἐν τῇ κοινῇ ἀναστάσει. Τοῦτο αἰνίττεται καὶ ὁ Κύριος παραβολικῶς εἰπὼν, τὸν μισθὸν τοῖς ἐργάταις τοῦ ἀμπελῶνος διδόναι ὀψίας, καὶ τὴν ἐκλογὴν τῶν ἐν τῇ σαγήνῃ ἰχθύων ὅτε πληρωθῇ γενησομένην, καὶ τὰ ζιζάνια ἐν τῷ τέλει καθαίρειν· ταῦτα δὲ πάντα δηλοῖ τὸν καιρὸν τῆς συντελείας. Τοῦτο καὶ ὁ θεῖος βεβαιῶν ἔφη Ἀπόστολος, ὅτι· «Οἱ ἅγιοι οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσι» (1). Τοῦτο βεβαιοῖ κἀνταῦθα ἡ Ἀποκά-

(1) Ἑβρ. ιά, 40.

λυψις ἐν τῷ λέγειν· Ἐδόθη αὐτοῖς ἵνα ἀναπαύσωνται ἔτι χρόνον μικρὸν, ἕως οὗ πληρώσονται καὶ οἱ σύνδουλοι αὐτῶν, καὶ οἱ ἀδελφοὶ καὶ οἱ μέλλοντες ἀποκτείνεσθαι ὡς καὶ αὐτοί· διὰ γὰρ τοῦ λόγου τούτου οὐκ ἀποφαινόμεθα ὅτι οἱ ἅγιοι οὐδέπω ἐδοξάσθησαν, ἄπαγε! ἀλλ' ὅτι οὔπω τὸ τέλειον ἀπειλήφασι. Μικρὸν δὲ λέγει τὸν χρόνον τῆς ὑπομονῆς, δηλῶν τότε ἀπαραιτήτως γενησόμενον, καὶ τὸ βραχὺ τῆς παρούσης μακροχρονίας, συγκρίσει τῇ πρὸς τὸν ἄπειρον ἐκεῖνον αἰῶνα.

12 **Κ**αὶ εἶδον, ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἕκτην· καὶ ἰδοὺ σεισμὸς μέγας ἐγένετο, καὶ ὁ ἥλιος ἐγένετο μέλας ὡς σάκκος τρίχινος, καὶ ἡ σελήνη ἐγένετο ὡς αἷμα.

**Ο** σεισμὸς ὁ μέγας καὶ ἡ σκότωσις τοῦ ἡλίου καὶ τὰ λοιπὰ τῶν ἐνταῦθα εἰρημένων, ἐγένετο μὲν καὶ ἐν τῷ ἀνοῖξαι τὴν ἕκτην σφραγῖδα, ὅτε δηλαδὴ τῇ ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ ἐπὶ ϛαυροῦ κρεμαμένου τοῦ Κυρίου, πᾶσα ἡ κτίσις ἠλλοίωται. Συμβέβηκε δὲ καὶ τοῖς σταυρωταῖς τοῦ Κυρίου, ὅτε ἐπολιόρκησε καὶ κατεπολέμησεν αὐτοὺς τὰ Ῥωμαϊκὰ στρατεύματα, τοῦ Οὐεσπεσιανοῦ στρατηγοῦντος· ὁ γὰρ σεισμὸς ὁ ἐπὶ τοῦ σταυροῦ καὶ τὰ λοιπὰ, προετύπου τὴν μετακίνησιν τῶν Ἑβραίων ἀπὸ τῆς εὐδαιμονίας εἰς κακοδαιμονίαν, καὶ εἰς πολύπονον δουλείαν, ὅτε καὶ ὁ ἥλιος μέλας τούτοις ἑωρᾶτο διὰ τὰς ἐπικειμένας αὐτοῖς κακοπαθείας, καὶ ἡ σελήνη εἰς αἷμα διὰ τὰς αἱματοχυσίας. Αὐτὰ ταῦτα συμβήσεται καὶ ἐπὶ τοῦ ἀντιχρίστου.

13 **Κ**αὶ οἱ ἀςέρες τοῦ οὐρανοῦ ἔπεσον, ὡς συκῆ βάλλει τοὺς ὀλύνθους αὐτῆς, ὑπὸ μεγάλου ἀνέμου σειομένη.

Ἀστέρες τοῦ οὐρανοῦ εἰσιν οἱ ἐν δόξῃ καὶ λαμπρότητι διαπρέποντες, οἷοι ἦσαν καὶ οἱ μαθηταὶ τοῦ Σωτῆρος, οἵτινες σεισθέντες τῷ ἀνέμῳ τῷ μεγάλῳ τοῦ φόβου καὶ τῆς θλίψεως, κατέπεσον εἰς δειλίαν καὶ δισταγμὸν ἐν τῷ καιρῷ τοῦ σωτηρίου πάθους, ὡς προέφη καὶ Συμεών· «Ἰδοὺ οὗτος κεῖται εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν» (1). Ἔτι δὲ καὶ οἱ Ἑβραῖοι πάλαι μὲν ὡς ἀστέρες τοῖς παρὰ Θεοῦ δεδωρημένοις λάμποντες ἐτύγχανον, ὕστερον δὲ, ἐκπεσόντες τῆς θείας χάριτος, ἀπὸ μεγάλης ὀργῆς κατασεισθέντες, ὡς ἄχρηστοι ὄλυνθοι κατεπατήθησαν.

14 **Καὶ ὁ οὐρανὸς ἀπεχωρίσθη ὡς βιβλίον εἱλισσόμενον, καὶ πᾶν ὄρος καὶ νῆσος ἐκ τῶν τόπων αὐτῶν ἐκινήθησαν.**

Οὐρανὸς ἐν πολλοῖς μέρεσι τῆς θείας Γραφῆς κἀνταῦθα σημαίνει τὰ οὐράνια καὶ ἀγγελικὰ τάγματα, ἅτινα ἔφριξαν ἐν τῷ καιρῷ τοῦ πάθους, καὶ φρίξουσιν ἐκπληττόμενα ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως, ὁρῶντα πολλοὺς μὲν τῶν ἐνταῦθα ὡς ἀστέρας λάμπειν δοκοῦντας ταῖς ἀρεταῖς, ἐκεῖσε δὲ φαινομένους πεπτωκότας τῆς δόξης, ἀποκαλυφθέντων τῶν λανθανόντων. Διὰ τούτου δὲ τοῦ λόγου δείκνυται ὅτι καὶ τὰ αἰσθητὰ ταῦτα κτίσματα, οὐρανὸς καὶ ἡ γῆ, οὐ χωρήσουσιν εἰς τὸ μὴ ὂν παντελῶς, ἀλλὰ μετασχηματισθήσονται ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν, καθά φησιν ὁ Ἀπόστολος· «Ὅτι παράγει τὸ σχῆμα τοῦ κόσμου τούτου» (2). καὶ γενήσεται οὐρανὸς καινὸς, καὶ γῆ καινὴ, καὶ μετασχηματισθέντα διαμενοῦσι· κτίσματα γάρ εἰσι τοῦ ἀεὶ ὄντος καὶ διαμένοντος Θεοῦ· τοῦτο ἀριδήλως συμμαρτυρεῖ καὶ ὁ ψαλμῳδὸς, λέγων· «Ἐξαποστελεῖς τὸ Πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς» (3), ἤτοι μετασχηματιεῖς· καὶ αὕτη

(1) Λουκ. β΄, 34. (2) Κορ. ξ΄, 31. (3) Ψαλμ. ρδ΄, 3.

ἡ ἀλλοίωσις καὶ μετασχημάτισις οὐ διὰ πολλοῦ γενήσεται χρόνου, ἀλλ' ἐν ῥοπῇ ὀφθαλμοῦ, ὡς καιροῦ ἀνοίξεως σφραγῖδος. Βουνοὺς δὲ καὶ ὄρη ἐνταῦθα νοητέον τὰ συστήματα τῶν δαιμόνων, τῶν ὡς ὄρη ὑψουμένων τῇ ὑπερηφανείᾳ, καὶ ὡς νῆσοι ἐν τῷ πολυκυμάντῳ τούτῳ βίῳ ἐμπεπηγμένων, ὅτε καὶ οὗτοι σεισθήσονται καὶ ἐκπεσοῦνται ἀπὸ τῆς ἐπάρσεως, καὶ παύσονται τοῦ κινεῖν καὶ ἐρεθίζειν τοὺς ἀνθρώπους εἰς ἁμαρτίας, καὶ λήψονται τὴν ἀποκειμένην· αὐτοῖς αἰωνίαν κόλασιν.

15 Καὶ οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ μεγιστᾶνες καὶ οἱ πλούσιοι, καὶ οἱ χιλίαρχοι, καὶ οἱ δυνατοὶ, καὶ πᾶς δοῦλος καὶ πᾶς ἐλεύθερος, ἔκρυψαν ἑαυτοὺς εἰς τὰ σπήλαια, καὶ εἰς τὰς πέτρας τῶν ὀρέων.

16 Καὶ λέγουσι τοῖς ὄρεσι καὶ ταῖς πέτραις· Πέσετε ἐφ' ἡμᾶς, καὶ κρύψετε ἡμᾶς ἀπὸ προσώπου τοῦ καθημένου ἐπὶ τοῦ θρόνου, καὶ ἀπὸ τῆς ὀργῆς τοῦ ἀρνίου.

17 Ὅτι ἦλθεν ἡ ἡμέρα ἡ μεγάλη τῆς ὀργῆς αὐτοῦ, καὶ τίς δύναται σταθῆναι;

Βασιλεῖς τῆς γῆς καὶ μεγιστᾶνας καὶ τὰ λοιπὰ ὀνομάζει τοὺς δαίμονας· οὗτοι γὰρ δόλῳ καὶ ἀπάτῃ ἐβασίλευσαν τῶν γηΐνων, καὶ τῶν τὰ τοῦ κόσμου φρονούντων· ἐκ τούτων εἰσὶ καί τινες δοῦλοι μὲν τῶν ὑπερβεβηκότων καὶ ἐπικρατεστέρων δαιμόνων, ἐξουσιασταὶ δὲ καὶ ὑπερέχοντες τῶν ὑφειμένων. Πάντες δὲ ἀπὸ τῆς δικαίας ὀργῆς τοῦ Θεοῦ καταδικασθήσονται εἰς τὰ βάθη τοῦ ᾅδου. Προσέτι βασιλεῖς καὶ μεγιστᾶνας νοητέον καὶ τοὺς τὰς πολιτικὰς διοικήσεις κυβερνῶντας, καὶ τοὺς τὰς Ἐκκλησιαστικὰς

προστασίας ἐμπεπιστευμένους. Ὄρη δὲ καὶ νήσους τὰ τῶν Χριστιανῶν συστήματα, οἵτινες ἅπαντες ἐν τῷ καιρῷ τοῦ ἀντιχρίστου λιποπάτριοι γενόμενοι, δραπετεύσωσι καὶ κρυβήσονται ἐν ὄρεσι καὶ σπηλαίοις, ἀπὸ φόβου καὶ προσδοκίας τῶν ἐπερχομένων τῇ οἰκουμένῃ, ὡς ἔφη ὁ Κύριος ἡμῶν ἐν Εὐαγγελίοις (1).

## ΚΕΦΑΛΑΙΟΝ Ζ΄.

1 Καὶ μετὰ ταῦτα εἶδον τέσσαρας ἀγγέλους ἑστῶτας ἐπὶ τὰς τέσσαρας γωνίας τῆς γῆς, κρατοῦντας τοὺς τέσσαρας ἀνέμους τῆς γῆς, ἵνα μὴ πνέῃ ἄνεμος ἐπὶ τῆς γῆς, μήτε ἐπὶ τῆς θαλάσσης, μήτε ἐπὶ πᾶν δένδρον.

Τούτοις ὑπαινίττεται ἡ Ἀποκάλυψις τὴν θλίψιν καὶ τὴν πανταχόθεν στενοχωρίαν καὶ συνοχὴν πρὸς ἄμυναν τῆς σταυρώσεως τοῦ Χριστοῦ, γενομένην ἀπὸ τῶν Ῥωμαϊκῶν στρατευμάτων· οἱ γὰρ τέσσαρες ἄγγελοί εἰσιν οἱ τῶν τεσσάρων περάτων τῆς Ἰουδαίας προστάται καὶ ἔφοροι, οἵτινες συνέκλεισαν τοὺς Ἰουδαίους, ὥστε μηδαμόθεν πνεῦσαι αὐτοῖς αὖραν ἀνέσεως, οὔτε ἐξ ἠπείρου, οὔτε ἐκ θαλάσσης ἐν τῷ πολεμεῖν αὐτούς· οὐδὲ ἐκεχειρίαν ἔλαβον εἰς τὸ γεωργῆσαι, ἢ κλαδεῦσαι καὶ ἀποκαθᾶραι τὰ δένδρα αὐτῶν ἀπὸ τῶν συμφορῶν τῶν ἐπαχθεισῶν αὐτοῖς, ὡς ἱστορεῖ Ἰώσηπος Ἑβραῖος ὁ φιλαλήθης, ὅςις μαρτυρεῖ, ὅτι ταῦτα

(1) Λουκ. κά, 26.

ἐπῆλθε τοῖς Ἰουδαίοις διὰ τὸ ἀδίκως ἀνελεῖν Ἰησοῦν, ὅς ἐστιν ὁ προσδοκώμενος Χριστός. Ταῦτα συμβήσεται καὶ ἐπὶ πᾶσαν τὴν γῆν κατὰ τὸν καιρὸν τοῦ ἀντιχρίστου· οἱ γὰρ ἔφοροι Ἀνατολῆς Δύσεως, Ἄρκτου, καὶ Μεσημβρίας ἄγγελοι, διαλύσουσι τὴν συνέχουσαν τὸν κόσμον ἁρμονίαν, καὶ κρατήσουσι τοὺς τέσσαρας ἀνέμους, δι' ὧν ζῶσι τὰ ζῶα, καὶ αὔξουσι τὰ φυτὰ, καὶ διαβατὰ γίνεται τὰ ὕδατα· τούτων δὲ καταργηθέντων, συγκαταργεῖται καὶ πᾶσα ἡ τοῦ κόσμου ἁρμονία.

2 Καὶ εἶδον ἄλλον ἄγγελον ἀναβάντα ἀπὸ ἀνατολῆς ἡλίου, ἔχοντα σφραγῖδα Θεοῦ ζῶντος· καὶ ἔκραξε φωνῇ μεγάλῃ τοῖς τέσσαρσιν ἀγγέλοις, οἷς ἐδόθη (αὐτοῖς) ἀδικῆσαι τὴν γῆν καὶ τὴν θάλασσαν.

3 Λέγων· Μὴ ἀδικήσητε τὴν γῆν, μήτε τὴν θάλασσαν, μήτε τὰ δένδρα, ἄχρις οὗ σφραγίσωμεν τοὺς δούλους τοῦ Θεοῦ ἡμῶν ἐπὶ τῶν μετώπων αὐτῶν.

Ἐπειδὴ ἡ κτίσις διὰ τὸν ἄνθρωπον δεδημιούργηται, διὰ τοῦτο ἐν μὲν τῷ παιδεύεσθαι τοὺς ἁμαρτωλοὺς συνθλίβεται καὶ συναλγεῖ· ἐν δὲ τῷ δοξάζεσθαι τοὺς δικαίους, συναγάλλεται. Καὶ τοῦτό ἐστι, τὸ ἀδικεῖσθαι τὴν γῆν καὶ τὴν θάλασσαν, τῇ τῶν ἀδικούντων δηλονότι παιδείᾳ συγκολαζομένων τῶν κτισμάτων· ἐπεὶ δὲ καὶ οἱ δίκαιοι χρείαν ἔχουσι τῆς τῶν ἀγγέλων ἐπικουρίας κατὰ τὸ· « Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν » (1). διὰ τοῦτο ἄγγελος πέμπεται σφραγῖσαι τοὺς δούλους τοῦ Θεοῦ· ὁ δὲ ἄγγελος ὁ σφραγίζων αὐτοὺς, καὶ ἀντιλαμβανό-

(1) Ψαλμ. λγ', 8.

μενος αὐτῶν, ἀναβαίνειν φαίνεται ἀπὸ τῆς ἀνατολῆς τοῦ ἡλίου· τὰ γὰρ ἔργα τῶν δικαίων λαμπρὰ καὶ ἡλιοειδῆ ὑπάρχοντα, ἐπισπῶνται τὴν ἀγγελικὴν ἐπικουρίαν· ἐν τῷ καιρῷ γὰρ τῆς πολιορκίας τῶν Ἰουδαίων ὑπὸ τῶν Ῥωμαίων, ἄγγελος ἐλθὼν διεχώρισε τοὺς Χριστιανοὺς ἀπὸ τῶν ἀσεβῶν, καὶ ἐξήγαγεν αὐτοὺς ἀπὸ τῆς συνοχῆς, καὶ ἀπήλλαξε τῶν δεινῶν, ὡς καὶ τὸν δίκαιον Λὼτ ἀπὸ Σοδόμων, καθά φησιν Εὐσέβιος ὁ Παμφίλου· διὸ καὶ γέγραπται· « Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε, λέγει Κύριος παντοκράτωρ » (1). Ἀλλὰ καὶ κατὰ τὸν καιρὸν τοῦ ἀντιχρίστου ἄγγελος ἀφορίσει καὶ διαχωρίσει τοὺς εὐσεβοῦντας ἀπὸ τῶν λοιπῶν. Ἡ σφραγὶς δὲ τοῦ Θεοῦ τοῦ ζῶντος, ἐν ᾗ σφραγιζόμεθα ἐστὶν ὁ τίμιος σταυρὸς Χριστοῦ τοῦ ζωοποιοῦντος Θεοῦ ἡμῶν κατὰ τό· «Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε » (2).

4 Καὶ ἤκουσα τὸν ἀριθμὸν τῶν ἐσφραγισμένων· ΡΜΔ χιλιάδες ἐσφραγισμένοι, ἐκ πάσης φυλῆς υἱῶν Ἰσραήλ.

5 Ἐκ φυλῆς Ἰούδα, ΙΒ χιλιάδες ἐσφραγισμένοι. Ἐκ φυλῆς Ῥουβὴμ, ΙΒ χιλιάδες ἐσφραγισμένοι. ἐκ φυλῆς Γὰδ, ΙΒ χιλιάδες ἐσφραγισμένοι.

6 Ἐκ φυλῆς Συμεὼν, ΙΒ χιλάδες ἐσφραγισμένοι, ἐκ φυλῆς Λευῒ, ΙΒ χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Ἰσάχαρ, ΙΒ χιλιάδες ἐσφραγισμένοι.

7 Ἐκ φυλῆς Ἀσὴρ, ΙΒ χιλιάδες ἐσφραγισμένοι·

(1) Β' Κορ. ς', 17. (2) Ψαλμ. δ', 7.

ἐκ φυλῆς Νεφθαλεὶμ, ΙΒ χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Μανασσῆ, ΙΒ χιλιάδες ἐσφραγισμένοι.

8 Ἐκ φυλῆς Ζαβουλὼν, ΙΒ χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Ἰωσὴφ, ΙΒ χιλιάδες ἐσφραγισμένοι· ἐκ φυλῆς Βενιαμὶν, ΙΒ χιλιάδες ἐσφραγισμένοι.

Οἱ μὲν ἐκ τῶν Ἑβραίων τοῖς Ἀποστόλοις πεισθέντες, καὶ εἰς Χριστὸν πιστεύσαντες, πολλοὶ πλείονες τοῦ εἰρημένου ἀριθμοῦ ὑπάρχουσι· τῷ γὰρ Παύλῳ ἐλθόντι εἰς Ἱερουσαλὴμ ἔφησαν οἱ Ἀπόστολοι· «Βλέπεις ἀδελφὲ, πόσαι μυριάδες ἐβαπτίσθησαν;»(1). Ἐνταῦθα δὲ ἑκατοντεσσαράκοντα τέσσαρας χιλιάδας μόνον ἀριθμεῖ· δηλοῦντος τοῦ λόγου, ὅτι ἐπειδὴ ἡ χιλιάς ἐστι τελειότης ἐν ἀριθμοῖς· περιέχει γὰρ πάντα τὰ διαστήματα, τυτέστι μονάδας δεκάδας καὶ ἑκατοντάδας. Νοεῖται οὖν ἐνταῦθα, ὅτι ἕκαστος τῶν Ἀποστόλων πλήρη καὶ τέλειον ἀριθμὸν πιστῶν ἐκαρποφόρησεν εἰς Χριστόν· οὐ μὴν δὲ, ἀλλὰ καὶ ἕκαστος αὐτῶν, ἐκαρποφόρησεν ὅσον ὅλοι οἱ Ἀπόστολοι, τουτέστιν ἀνὰ δώδεκα χιλιάδας· τὰ οὖν δώδεκα τοῖς δώδεκα πολλαπλασιαζόμενα, τὰς ἑκατοντεσσαρακοντατέσσαρας χιλιάδας ποιοῦσιν. Ἀριθμεῖ δὲ τὰ ὀνόματα τῶν ἀπὸ Ἰακὼβ πατριαρχῶν, ἵνα δείξῃ ὅτι ἀντ' ἐκείνων τῶν δώδεκα ἀντεισήχθησαν οἱ δώδεκα τοῦ Χριστοῦ Ἀπόστολοι, ὡς διὰ τοῦ ψαλμῳδοῦ εἴρηκεν ὁ Θεός· «Ἀντὶ τῶν πατέρων σου ἐγενήθησαν οἱ υἱοί σου» (2). Οἱ γὰρ Ἀπόστολοι ἀνεγέννησαν ἡμᾶς εἰς τὴν αἰώνιον ζωὴν, καὶ πατέρες τοῦ νέου Ἰσραὴλ ἀνεδείχθησαν.

9 Μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ ὄχλος πολὺς, ὃν ἀριθμῆσαι αὐτὸν οὐδεὶς ἠδύνατο, ἐκ παντὸς ἔθνους

(1) Πραξ. κά, 20. (2) Ψαλμ. μδ', 17.

καὶ φυλῶν καὶ λαῶν καὶ γλωσσῶν, ἑστῶτες ἐνώπιον τοῦ θρόνου καὶ ἐνώπιον τοῦ ἀρνίου, περιβεβλημένοι στολὰς λευκὰς, καὶ φοίνικες ἐν ταῖς χερσὶν αὐτῶν.

10 Καὶ κράζοντες φωνῇ μεγάλῃ, λέγοντες· Ἡ σωτηρία τῷ Θεῷ ἡμῶν, τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, καὶ τῷ ἀρνίῳ.

Ὁ ὄχλος ὁ ἀναρίθμητός εἰσιν οἱ ἐκ τῶν Ἰουδαίων καὶ τῶν ἐθνῶν εἰς Χριστὸν πιστεύσαντες καὶ βαπτισθέντες· παρίστανται δὲ ἐνώπιον τοῦ ἀμνοῦ τοῦ Θεοῦ, τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐν στολαῖς λευκανθείσαις διὰ τοῦ θείου βαπτίσματος καὶ διὰ τῶν θεαρέστων ἔργων, ἅτινα παριστῶσιν οἱ ἐν χερσὶν αὐτῶν φοίνικες, δηλοῦντες τὰ κατὰ τοῦ διαβόλου νικητικὰ τρόπαια, καὶ τὸ ἀειθαλὲς ἀθάνατον καὶ (ἀμάραντον) τῶν ἀρετῶν αὐτῶν. Οὗτοι συντόνῳ φωνῇ καὶ διανοίᾳ ὁμολογοῦσιν, ὅτι ἐρρύσατο αὐτοὺς ἐκ τῆς δουλείας τοῦ διαβόλου οὐκ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτὸς ὁ Κύριος, ὥς φησιν Ἡσαΐας (1). Ὁ δὲ ῥυσάμενος Θεὸς τέλειός ἐστιν ἐπὶ θρόνου δόξης καθήμενος. Ὁ αὐτὸς καὶ διὰ τὸ ἐνανθρωπῆσαι ὡς ἀρνίον εἰς σφαγὴν παρεδόθη ἑκουσίως ἀντίλυτρον ἡμῶν.

11 Καὶ πάντες οἱ ἄγγελοι ἑστήκεσαν κύκλῳ τοῦ θρόνου καὶ τῶν πρεσβυτέρων καὶ τῶν τεσσάρων ζώων, καὶ ἔπεσον ἐνώπιον τοῦ θρόνου ἐπὶ πρόσωπον αὐτῶν, καὶ προσεκύνησαν τῷ Θεῷ.

(1) Ησ. ξγ', 9.

12 Λέγοντες· Ἀμήν· ἡ εὐλογία καὶ ἡ δόξα καὶ
ἡ σοφία καὶ ἡ εὐχαριστία καὶ ἡ τιμὴ καὶ ἡ δύ-
ναμις καὶ ἡ ἰσχὺς τῷ Θεῷ ἡμῶν, εἰς τοὺς αἰῶ-
νας τῶν αἰώνων· Ἀμήν.

Ἰδοὺ ἐν Χριστῷ ἄγγελοί τε καὶ ἄνθρωποι, μία ποίμνη γέγονε, δοξάζουσα τὸν Θεὸν, καὶ ἀπονέμουσα αὐτῷ ἑπτά τινα χαριστήρια· ὁ γὰρ ἕβδομος ἀριθμὸς οὐκ ἔστι γεγενημένος ἔκ τινος τῶν ἐντὸς τῆς δεκάδος ἀριθμῶν, δηλοῦντος τοῦ λόγου, ὅτι ταῦτα οὐχ ἑτέρωθεν ἔχει, ἀλλ' ἐξ αὐτοῦ πηγάζοντα, καὶ ἐν αὐτῷ μένοντα.

13 Καὶ ἀπεκρίθη εἷς ἐκ τῶν πρεσβυτέρων, λέ-
γων μοι· Οὗτοι οἱ περιβεβλημένοι τὰς στολὰς τὰς
λευκὰς, τίνες εἰσὶ, καὶ πόθεν ἦλθον;

14 Καὶ εἴρηκα αὐτῷ· Κύριε σὺ οἶδας. Καὶ εἶπέ
μοι· Οὗτοί εἰσιν οἱ ἐρχόμενοι ἐκ τῆς θλίψεως τῆς
μεγάλης, καὶ ἔπλυναν τὰς στολὰς αὐτῶν, καὶ
ἐλεύκαναν αὐτὰς ἐν τῷ αἵματι τοῦ ἀρνίου.

15 Διὰ τοῦτό εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ Θε-
οῦ, καὶ λατρεύουσιν αὐτῷ ἡμέρας καὶ νυκτὸς ἐν τῷ
ναῷ αὐτοῦ· καὶ ὁ καθήμενος ἐπὶ τοῦ θρόνου, σκη-
νώσει ἐπ' αὐτούς.

Οἱ μάρτυρες, καὶ πάντες οἱ διὰ Χριστὸν κακοπαθήσαντες, μετέβησαν ἀπὸ θλίψεως μεγάλης τοῦ κόσμου εἰς ἀνάπαυσιν αἰωνίαν τῆς αἰωνίου ζωῆς· κατὰ μίμησιν γὰρ τοῦ Χριστοῦ ἐκχέαντες

τὰ αἵματα αὐτῶν, καὶ ταλαιπωρηθέντες ἔπλυναν καὶ ἐλεύκαναν ἑαυτούς, διὸ καὶ παρίστανται σὺν τοῖς ἀγγέλοις τῷ θρόνῳ τοῦ Θεοῦ, καταυγαζόμενοι τῇ λαμπρότητι καὶ δόξῃ αὐτοῦ, ἔνθα οὐκ ἔστι σκότος οὐδὲ νύξ. Τὸ δὲ λέγειν τὴν Ἀποκάλυψιν, λατρεύουσιν αὐτῷ ἡμέρας καὶ νυκτὸς, σημαίνει τὸ διηνεκὲς καὶ ἀδιάλειπτον τῆς λατρείας αὐτῶν. Ἔτι δὲ ἡ μὲν ἡμέρα δηλοῖ τὰ φανερὰ καὶ ἐμφανῆ τοῦ Θεοῦ κρίματα· ἡ δὲ νὺξ τὰ ἀπόῤῥητα καὶ κρύφια αὐτοῦ μυστήρια· οἱ οὖν ἄγγελοι λατρεύουσι δοξάζοντες αὐτὸν ἐπί τε τοῖς ἐμφανέσι καὶ ἐπὶ τοῖς ἀποῤῥήτοις αὐτοῦ δικαιώμασι. Ναὸς δὲ τοῦ Θεοῦ ἐστι τόπος, ἐν ᾧ ἐμφαίνεται ὡς δυνατὸν ἀνθρώπῳ ἡ θεία αὐτοῦ παρουσία. Εἰσὶ δὲ καὶ οἱ ἅγιοι ναὸς Θεοῦ, ὡς ἔφη ὁ θεῖος Ἀπόστολος (1)· ἐν αὐτοῖς γὰρ οἰκεῖ καὶ ἐπαναπαύεται, ὡς ἐπηγγείλατο ὁ Ὕψιστος (2).

16 Οὐ πεινάσουσιν ἔτι, οὐδὲ διψήσουσιν ἔτι, οὐδὲ μὴ πέσῃ ἐπ' αὐτοὺς ὁ ἥλιος, οὐδὲ πᾶν καῦμα.

17 Ὅτι τὸ ἀρνίον τὸ ἀναμέσον τοῦ θρόνου ποιμανεῖ αὐτοὺς, καὶ ὁδηγήσει αὐτοὺς ἐπὶ ζώσας πηγὰς ὑδάτων· καὶ ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν.

Τὸ οὐ πεινάσουσιν, ἀντὶ τοῦ, ἐμπεπλησμένοι εἰσὶ τῶν ἀνεκλαλήτων ἀγαθῶν· ἀπολαύουσι τοῦ ἄρτου τοῦ ἐκ τοῦ οὐρανοῦ καταβάντος, καὶ ζωὴν τῷ κόσμῳ διδόντος. Τὸ δὲ, οὐ διψήσουσιν ἀντὶ τοῦ, ἡ πλημμύρα τοῦ ἁγίου Πνεύματος δαψιλῶς ἐπ' αὐτοὺς ἐκκέχυται, καθὰ εἴρηκεν ὁ Κύριος· «Ὁ πιστεύων εἰς ἐμὲ ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ὕδατος ζῶντος» (3). Ἐν

(1) Β' Κορ. ς', 16. (2) Λεϋϊτ. κς', 12. (3) Ἰωαν. ζ', 38.

τούτοις τοῖς ὕδασιν ὁδηγεῖ αὐτοὺς καὶ ποιμαίνει ὁ Υἱὸς τοῦ Θεοῦ, ὁ ἐν μέσῳ τοῦ Θρόνου, τουτέστιν ὁ ἐν δόξῃ καὶ ἀρχῇ καὶ κυριότητι τοῦ Πατρὸς αὐτοῦ, ὅστις κατὰ τὴν ἀνθρωπότητα ὡς ἀρνίον ἤχθη εἰς σφαγήν. Οὗτος ἐξαλείψει καὶ πᾶν δάκρυον ἀπὸ τῶν ὀφθαλμῶν αὐτῶν, ῥυσάμενος αὐτοὺς ἀπὸ τῶν δακρυῤῥόων θλίψεων, ὧν ἐν τῷ παρόντι βίῳ ὑπέστησαν, καὶ οὐ μὴ πέσῃ ἐπ' αὐτοὺς φλογμὸς ἡλίου, τουτέστι κάκωσις φλογμὸν καὶ πυρίκαυσιν ἐμποιοῦσα.

## ΚΕΦΑΛΑΙΟΝ Η'.

1 Καὶ ὅτε ἤνοιξε τὴν σφραγῖδα τὴν ἑβδόμην, ἐγένετο σιγὴ ἐν τῷ οὐρανῷ ὡς ἡμιώριον.

2 Καὶ εἶδον τοὺς ἑπτὰ ἀγγέλους, οἳ ἐνώπιον τοῦ Θεοῦ ἑστήκασι, καὶ ἐδόθησαν αὐτοῖς ἑπτὰ σάλπιγγες.

Η ἄνοιξις τῆς ἑβδόμης σφραγῖδος δηλοῖ τὴν παῦσιν τοῦ θορύβου καὶ τῆς ταραχῆς τοῦ κόσμου· ἐν γὰρ τῇ ἑβδόμῃ κατάπαυσις καὶ ἀργία ἐγένετο· ὡσαύτως καὶ ἡ σιγὴ παῦλαν θορύβου σημαίνει. Τὸ δὲ ἡμιώριον, ὅτι αὕτη ἡ ἡσυχία ἔσται μετὰ τὴν βασιλείαν τοῦ ἀντιχρίστου εἰς διάστημα βραχὺ χρόνου. Ἔτι ἡ σιγὴ ἡ ἐν τῷ οὐρανῷ δηλοῖ τὴν εὐλάβειαν καὶ συστολὴν καὶ εὐταξίαν τῶν ἁγίων ἀγγέλων, τήν τε ἔκπληξιν αὐτῶν· ἡ γὰρ ἔκπληξις σιγὴν κατεργάζεται. Πρὸς δὲ τούτοις, καὶ τὴν ἀπορίαν καὶ ἄγνοιαν αὐτῶν περὶ τὴν πρώτην καὶ δευτέραν τοῦ Χριστοῦ

παρουσίαν. Αἱ δὲ ἑπτὰ σάλπιγγες σημαίνουσιν, ὅτι ὁ παραγενόμενός ἐστι βασιλεὺς τῶν βασιλευόντων· δηλοῖ δὲ καὶ τὴν δύναμιν τοῦ πρωτοτόκου τῶν νεκρῶν Ἰησοῦ Χριστοῦ, ἥτις ὡς ἐν φωνῇ σάλπιγγος ἐγερεῖ τοὺς νεκροὺς ὡς ἐξ ὕπνου κατὰ τὸν Ἀπόστολον πρὸς Θεσσαλονικεῖς (1).

3 Καὶ ἄλλος ἄγγελος ἦλθε καὶ ἐστάθη ἐπὶ τὸ θυσιαστήριον, ἔχων λιβανωτὸν χρυσοῦν· καὶ ἐδόθη αὐτῷ θυμιάματα πολλὰ, ἵνα δώσῃ ταῖς προσευχαῖς τῶν ἁγίων πάντων ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν, τὸ ἐνώπιον τοῦ θρόνου.

4 Καὶ ἀνέβη ὁ καπνὸς τῶν θυμιαμάτων ταῖς προσευχαῖς τῶν ἁγίων ἐκ χειρὸς τοῦ ἀγγέλου ἐνώπιον τοῦ Θεοῦ.

Αἱ σάλπιγγες καὶ τὸ θυσιαστήριον καὶ τὸ λιβανωτὸν, καὶ πάνθ' ὅσα ἑώρακεν ὁ Εὐαγγελιστὴς οὐκ εἰσὶν ὑλικὰ καὶ αἰσθητὰ, ἀλλὰ νοερὰ καὶ πνευματικὰ, εἰδοποιήθησαν δὲ τοῖς αἰσθητοῖς διὰ τὴν ἀσθένειαν τῆς διανοίας ἡμῶν πρὸς τὰ ὑπὲρ αἴσθησιν. Καὶ δὴ θυσιαστήριον μέν ἐστιν ὁ Κύριος Ἰησοῦς Χριστὸς, ὁ τυθεὶς ὑπὲρ ἡμῶν, καὶ γενόμενος ἱλαστήριον τῶν ψυχῶν καὶ σωτηρία τῶν ἁμαρτιῶν ἡμῶν· τούτῳ προσάγονται οἱ ἅγιοι Μάρτυρες, ὡς θυσίαι καὶ ὁλοκαυτώματα ἱερά· αὐτῷ παρίστανται καὶ οἱ φωτεινοὶ ἄγγελοι· τούτου τύπος ἦν καὶ τὸ θυσιαστήριον, ὃ πεποίηκε Μωϋσῆς, τὸ ἀποκαλυφθὲν αὐτῷ ἐν τῷ ὄρει Σινᾶ. Λιβανωτὸν δὲ, ἤτοι πυρεῖον καὶ θυμιατήριόν ἐστιν ἡ μεσιτεία τῶν ἀγγέλων, τῶν παρεστώτων ἐπὶ προσαγωγῇ τῶν προσευχῶν τῶν δικαίων

(1) Α' Θεσ. δ', 16.

πρὸς τὸν Θεὸν, καὶ ἡ ἐπικυρία ἡ παρ' αὐτῶν γινομένη τοῖς ἀνθρώποις. Τοῦτο τὸ θυμιατήριον ὤφθη ἐκ χρυσοῦ κατεσκευασμένον· ὥσπερ γὰρ τίμιος καὶ ἐραστὸς ὁ χρυσὸς τοῖς ἀνθρώποις, οὕτω καὶ ἡ τῶν ἀγγέλων τοῖς ἀνθρώποις ἐπικουρία, καὶ αἱ προσευχαὶ τῶν ἁγίων ἀγαπηταὶ παρὰ τῷ Θεῷ. Τὸ δὲ πῦρ τὸ ἐν τῷ λιβανωτῷ σημαίνει τὴν φλόγα τῆς ἀγάπης τοῦ Θεοῦ, τὴν καίουσαν καὶ καταναλίσκουσαν καὶ ἀφανίζουσαν ἀπὸ τῆς καρδίας πᾶσαν δυσωδίαν καὶ κηλίδα, προσγινομένην ἐκ τῆς ἀγάπης τῶν γηΐνων καὶ κοσμικῶν. Αἱ δὲ προσευχαὶ τῶν ἁγίων θυμιάμασιν ὡμοιώθησαν διὰ τὸ εὐπρόσδεκτον, ὡς ἔφη ὁ ψαλμῳδός· «Κατευθυνθήτω ἡ προσευχή μου ὡς θυμίαμα ἐνώπιόν σου» (1). Διὰ δὲ χειρὸς τοῦ ἀγγέλου ἀνέβη ὁ καπνὸς, διότι οἱ ἅγιοι βεβιώκασιν ἐπὶ γῆς ὡς ἄγγελοι καθαρὸν καὶ ἀνεπίληπτον βίον. Αὗται δὲ αἱ προσευχαὶ καὶ καθ' ἑαυτὰς μὲν εὔοσμοι καὶ εὐπρόσδεκτοί εἰσι, προσλαμβάνουσι δὲ δόξαν πλείονα διὰ τῆς ἀγγελικῆς μεσιτεύσεως. Προσέτι ὁ καπνὸς δηλοῖ τὸν ἐρεθισμὸν τῆς θείας ἀγανακτήσεως κατὰ τῶν ἀσεβῶν· αἱ γὰρ προσευχαὶ τῶν ἁγίων ταχύνουσι καὶ ἐρεθίζουσι τὴν κατὰ τῶν ἐναντίων τιμωρίαν.

5 Καὶ εἴληφεν ὁ ἄγγελος τὸν λιβανωτὸν, καὶ ἐγέμισεν αὐτὸν ἐκ τοῦ πυρὸς τοῦ θυσιαστηρίου, καὶ ἔβαλεν εἰς τὴν γῆν, καὶ ἐγένοντο φωναὶ καὶ βρονταὶ καὶ ἀστραπαὶ και σεισμός.

6 Καὶ οἱ ἑπτὰ ἄγγελοι, ἔχοντες τὰς ἑπτὰ σάλπιγγας, ἡτοίμασαν ἑαυτοὺς ἵνα σαλπίσωσι.

7 Καὶ ὁ πρῶτος ἄγγελος ἐσάλπισε, καὶ ἐγέ-

(1) Ψαλμ. ρμ', 2.

νετο χάλαζα καὶ πῦρ, μεμιγμένα αἵματι καὶ ἐβλήθη εἰς τὴν γῆν· καὶ τὸ τρίτον τῆς γῆς κατεκάη, καὶ τὸ τρίτον τῶν δένδρων κατεκάη, καὶ πᾶς χόρτος χλωρὸς κατεκάη.

Αἱ σάλπιγγες σημαίνουσι τὰς θείας ἐντολὰς, οἱ ἄγγελοι δέ εἰσιν οἱ διάκονοι καὶ διαπορθμευταὶ αὐτῶν· βρονταὶ δὲ καὶ φωναὶ καὶ ἀστραπαί εἰσιν αἱ ἀπειλαὶ, αἱ κατὰ τῶν παραβαινόντων τὰς θείας ἐντολάς· καὶ τοῦτο ἐδήλουν καὶ αἱ ἐν τῷ ὄρει Σινᾷ γενόμεναι φωναὶ καὶ βρονταί. Δένδρα δὲ καὶ χόρτος χλωρός εἰσιν οἱ ἁμαρτωλοὶ, οἱ ἐν τῷ παρόντι βίῳ ἐπαιρόμενοι, εὐθηνούμενοί τε καὶ εὐανθοῦντες· οἷοι ἦσαν οἱ Ἑβραῖοι τὸ πάλαι, κομῶντες ἐν βασιλείᾳ, καὶ εὐθαλλοῦντες ἐν ἱερωσύνῃ, ἐφ' οὓς, ἀμετανοήτους μείναντας, τὰ ἀπειλούμενα ὡς χάλαζα καὶ πῦρ μεμιγμένα αἵματι κατηνέχθησαν αἱ παρὰ Θεοῦ πληγαὶ καὶ μάστιγες διὰ τῶν Ῥωμαϊκῶν στρατευμάτων. Ὡσαύτως καὶ πᾶσι τοῖς ἀμετανοήτως ἁμαρτάνουσιν ἐπέρχονται δειναὶ συμφοραὶ, καὶ περιστάσεις ἐπάλληλοι ὡς βροχὴ χαλάζης, καὶ ταῦτα ἐν τῷ παρόντι αἰῶνι· ἐν γὰρ τῷ μέλλοντι οὐ τὸ τρίτον αὐτῶν μόνον, ἀλλὰ πάντας ἡ αἰώνιος ἐκδέχεται κόλασις. Τοὺς τοιούτους δένδροις παρεικάζει καὶ τὸ ἅγιον Εὐαγγέλιον, ἔχουσι πρὸς τὴν ῥίζαν κειμένην τὴν ἀξίνην τῆς θείας ἀγανακτήσεως, τὴν ἐκκόπτουσαν αὐτοὺς, καὶ εἰς τὸ πῦρ τὸ τῆς γεέννης βάλλουσαν, ὡς μὴ φέροντας καρποὺς μετανοίας.

8 Καὶ ὁ δεύτερος ἄγγελος ἐσάλπισε, καὶ ὡς ὄρος μέγα πυρὶ καιόμενον ἐβλήθη εἰς τὴν θάλασσαν, καὶ ἐγένετο τὸ τρίτον τῆς θαλάσσης αἷμα.

9 Καὶ ἀπέθανε τὸ τρίτον τῶν κτισμάτων τῶν

ἐν τῇ θαλάσσῃ, τὰ ἔχοντα ψυχὰς, καὶ τὸ τρίτον τῶν πλοίων διεφθάρη.

Θάλασσα σημαίνει τὸν πολυκύμαντον καὶ ἀςάτως ταραττόμενον τοῦτον κόσμον, ὃν αἱ τρικυμίαι καὶ ζάλαι τῶν ματαίων μεριμνῶν χειμάζουσι καὶ ταράττουσιν, εἰς ἣν θάλασσαν ἐμπίπτουσα ἡ ὀργὴ τοῦ Θεοῦ, ὡς ὄρος μέγα, ὀλοθρεύει πλήθη τῶν ἀσεβῶν, τῶν ἐκχεάντων αἵματα τῶν Μαρτύρων, καὶ φοινιξάντων τὴν γῆν. Οὗτοι πλοίοις ἐν θαλάσσῃ ἱστιοδρομοῦσι παρεικάζονται.

10 Καὶ ὁ τρίτος ἄγγελος ἐσάλπισε, καὶ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ ἀστὴρ μέγας καιόμενος ὡς λαμπὰς, καὶ ἔπεσεν ἐπὶ τὸ τρίτον τῶν ποταμῶν, καὶ ἐπὶ τὰς πηγὰς ὑδάτων.

11 Καὶ τὸ ὄνομα τοῦ ἀστέρος λέγεται ἄψινθος, καὶ γίνεται τὸ τρίτον τῶν ὑδάτων εἰς ἄψινθον, καὶ πολλοὶ ἀνθρώπων ἀπέθανον ἐκ τῶν ὑδάτων, ὅτι ἐπικράνθησαν.

Ἀστέρα μέγαν νοητέον τὸν διάβολον τὸν ἐκ τοῦ οὐρανοῦ ὡς ἀστραπὴν πεσόντα, τὸν πρότερον μὲν λαμπρὸν ὄντα, καὶ ἑωσφόρον λεγόμενον, ὕστερον δὲ διὰ τὴν κακίαν πεσόντα ἀπὸ τῆς ἀξίας καὶ τῆς δόξης αὐτοῦ καὶ σκοτισθέντα. Οὗτος τῇ ἑαυτοῦ πικρότητι πικραίνει τὸ τρίτον τῶν ὑδάτων, τουτέστιν ἔνια τῶν ἀπίστων ἐθνῶν, διὸ καὶ ἄψινθος λέγεται· ὥσπερ γὰρ ἡ βοτάνη ἡ λεγομένη ἀψίνθιόν ἐστι πικροτάτη, (ὡς φασιν οἱ ἰατροὶ) ὀξύνει καὶ τὴν ὅρασιν τῶν χρωμένων ταύτῃ, οὕτω καὶ ὁ διάβολος ταῖς σωματικαῖς ἡδοναῖς πικραίνει καὶ φαρμακεύει τὰς ψυχὰς τῶν ὑπο-

τασσομένων αὐτῷ, καὶ ὀξύνει τοὺς ὀφθαλμοὺς αὐτῶν πρὸς γνῶσιν τοῦ κακοῦ, ὡς διήνοιξε τοὺς ὀφθαλμοὺς τῶν πρωτοπλάστων Ἀδὰμ καὶ Εὔας ἐν τῷ παραδείσῳ τῇ ἡδονῇ τῆς γεύσεως τοῦ ἀπηγορευμένου καρποῦ, πρὸς τὸ εἰδέναι τὸ κακόν. Ὁ αὐτὸς πικραίνει καὶ τοὺς δικαίους τοῖς πειρασμοῖς καὶ ταῖς θλίψεσιν, ἃς οἱ ὑπομένοντες καὶ τροποῦντες αὐτὸν, ὀξύνουσι τοὺς ὀφθαλμοὺς αὐτῶν πρὸς θεωρίαν Θεοῦ. Ποταμοὶ δὲ καὶ ὕδατα, ἐφ' ἃ ἔπεσεν ὁ διάβολός ἐστιν ἔνια τῶν ἀσεβῶν ἐθνῶν, ἅτινα λέγονται ὕδατα διὰ τὸ ῥευστὸν καὶ ἀπαγὲς αὐτῶν, ἃ καὶ κατέστησεν ὅμοια αὐτῷ πικρὰ καὶ δριμέα καὶ κακοποιητικὰ, ὥστε τῇ πικρότητι αὐτῶν θανατῶσαι πολλοὺς, οὓς μὲν σωματικῶς, οὓς δὲ ψυχικῶς.

12 Καὶ ὁ τέταρτος ἄγγελος ἐσάλπισε, καὶ ἐπλήγη τὸ τρίτον τοῦ ἡλίου, καὶ τὸ τρίτον τῆς σελήνης, καὶ τὸ τρίτον τῶν ἀστέρων, ἵνα σκοτισθῇ τὸ τρίτον αὐτῶν, καὶ ἡ ἡμέρα μὴ φαίνῃ τὸ τρίτον αὐτῆς, καὶ ἡ νὺξ ὁμοίως.

Ἥλιος μέν ἐστιν ὁ Κύριος ἡμῶν, ὡς καὶ παρὰ τῶν Προφητῶν ὠνόμασται· σελήνη δὲ ἡ ἀειπάρθενος Θεοτόκος, ἀστέρες δὲ οἱ ἅγιοι· σκοτισμὸς δὲ καὶ πληγὴ αὐτῶν ἐστιν ἡ κώλυσις καὶ ἀποτείχισις τῆς ἐπικουρίας καὶ ἀντιλήψεως αὐτῶν ἀπὸ τῶν ἀμετανοήτων, ὥστε μὴ φαίνειν αὐτοὺς οὐδὲ ἐν ἡμέρᾳ, ἤτοι ἐν τῷ παρόντι βίῳ, οὐδὲ ἐν νυκτὶ, ἤτοι ἐν δύσει ταύτης τῆς ζωῆς· ἔσαι γὰρ αὐτοῖς νὺξ ἀφεγγής.

13 Καὶ εἶδον, καὶ ἤκουσα ἑνὸς ἀγγέλου πετωμένου ἐν μεσουρανήματι, λέγοντος φωνῇ μεγάλῃ· οὐαὶ, οὐαὶ, οὐαὶ τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς ἐκ

τῶν λοιπῶν φωνῶν τῆς σάλπιγγος τῶν τριῶν ἀγγέλων τῶν μελλόντων σαλπίζειν.

Οὐκ ἐν τῷ οὐρανῷ, ἀλλ' ἐν μεσουρανήματι ἵπταται ὁ ἄγγελος, ἵνα δείξῃ, ὅτι οὐκ ἀξιοῦνται τῆς εἰς οὐρανοὺς ἀναβάσεως οἱ ἀμετανόητοι· τὸ δὲ τρίτον τοῦ, οὐαὶ, σημαίνει τὸ πολὺ καὶ μέγα τῆς λύπης τῶν ἀγγέλων ἐπὶ τῇ ἀμετανοησίᾳ τῶν ἁμαρτωλῶν· ὥσπερ γὰρ μεγάλη χαρὰ γίνεται αὐτοῖς ἐπὶ τῇ μετανοίᾳ ἑνὸς ἁμαρτωλοῦ, οὕτω καὶ μεγάλη θλίψις ἐπὶ τῇ ἀπωλείᾳ τῶν πολλῶν, καὶ ἐπὶ τῇ ἐπερχομένῃ αὐτοῖς ὀργῇ τοῦ ὑπὸ τῶν ἀγγέλων τρισαγίοις ᾄσμασι δοξολογουμένου Θεοῦ. Τούτους ταλανίζει, ὅτι οὐ διηγέρθησαν, οὐδὲ μετενόησαν ἐπὶ ταῖς προλαβούσαις σάλπιγξιν.

## ΚΕΦΑΛΑΙΟΝ Θ΄.

1 Καὶ ὁ πέμπτος ἄγγελος ἐσάλπισε, καὶ εἶδον ἀστέρα ἐκ τοῦ οὐρανοῦ πεπτωκότα εἰς τὴν γῆν, καὶ ἐδόθη αὐτῷ ἡ κλεὶς τοῦ φρέατος τῆς ἀβύσσου.

2 Καὶ ἤνοιξε τὸ φρέαρ τῆς ἀβύσσου, καὶ ἀνέβη καπνὸς ἐκ τοῦ φρέατος, ὡς καπνὸς καμίνου μεγάλης, καὶ ἐσκοτίσθη ὁ ἥλιος καὶ ὁ ἀὴρ ἐκ τοῦ καπνοῦ τοῦ φρέατος.

Προέφημεν, ὅτι ἀστὴρ ὁ πεπτωκὼς ἐκ τοῦ οὐρανοῦ ἐστιν ὁ διάβολος· ὅστις πίπτει καὶ ἐπὶ τοὺς τὰ γήϊνα καὶ κοσμικὰ φρο-

νοῦντας. Κλεὶς δὲ τοῦ φρέατος τῆς ἀβύσσου, ἡ δοθεῖσα αὐτῷ ἐξουσία εἰς τὸ καθεῖρξαι καὶ δεσμεῦσαι τοὺς ἁμαρτωλοὺς εἰς τὰ βάθη τῆς γῆς. Ἀνοίγει δὲ αὐτὸς τὸ φρέαρ τῆς ἀβύσσου ἐν τῷ ἐρεθίζειν τὰς σαρκικὰς ἐπιθυμίας, καὶ παροτρύνειν ἐπὶ τὰς κακὰς ἐργασίας. Ὁ δὲ καπνὸς ὁ ἀναβαίνων ἐκ τοῦ φρέατός ἐστιν ὁ κλαυθμὸς καὶ ὁ στεναγμὸς τῶν ἐν τῇ γεέννῃ, οὓς οὐ θερμαίνει ὁ ἥλιος τοῦ Θείου ἐλέους, οὐ δυσωπεῖται ὁ δικαιοκρίτης τοῖς δάκρυσιν αὐτῶν, τῶν μὴ μετανοησάντων ἐν τῷ παρόντι αἰῶνι.

3 **Κ**αὶ ἐκ τοῦ καπνοῦ ἐξῆλθον ἀκρίδες εἰς τὴν γῆν, καὶ ἐδόθη αὐταῖς ἐξουσία, ὡς ἔχουσιν ἐξουσίαν οἱ σκορπίοι τῆς γῆς.

3 **Κ**αὶ ἐῤῥέθη αὐταῖς, ἵνα μὴ ἀδικήσωσι τὸν χόρτον τῆς γῆς, οὐδὲ πᾶν χλωρὸν, οὐδὲ πᾶν δένδρον, εἰ μὴ τοὺς ἀνθρώπους μόνους, οἵτινες οὐκ ἔχουσι τὴν σφραγῖδα τοῦ Θεοῦ ἐπὶ τῶν μετώπων αὐτῶν.

Ὥσπερ ἀπὸ τῆς φθορᾶς τοῦ ἀέρος γενῶνται αἱ ἀκρίδες, οὕτως ἀπὸ τῆς ἐφθαρμένης πολιτείας τῶν ἐν γῇ πολιτευομένων χαμαιζήλων γεννᾶται μνήμη τῶν πονηρῶν αὐτῶν πράξεων καὶ συνείδησις πονηρὰ, πλήττουσα τὰς ψυχὰς, ὡς πλήττουσιν οἱ σκορπίοι. Τοῦτο καὶ Ἡσαΐας ὁ Προφήτης προεῖπε, λέγων· Ὁ σκώληξ τῶν ἁμαρτωλῶν οὐ τελευτᾷ (1)· τουτέστιν αἱ μάστιγες αἱ πλήττουσαι τὰς καρδίας αὐτῶν, καὶ ἡ νὺξ τῶν κακῶν συνειδήσεων αὐτῶν ἄπαυστος ἔσται. Αἱ τοιαῦται οὖν ἀκρίδες οὐκ ἀδικοῦσι χόρτον χλωρὸν καὶ δένδρον ὥσπερ αἱ αἰσθηταὶ, ἀλλὰ

Ἡσ. ξς', 24.

κακοῦσιν ἀνθρώπους τοὺς δι' ἀσέβειαν, ἢ ἀμετανοησίαν, μὴ ἔχοντας τὴν σφραγῖδα, ἤτοι τὴν διὰ τοῦ τιμίου Σταυροῦ χάριν τοῦ Θεοῦ εἰς τὰ μέτωπα αὐτῶν.

5 **Κ**αὶ ἐδόθη αὐταῖς ἵνα μὴ ἀποκτείνωσιν αὐτούς, ἀλλ' ἵνα βασανισθῶσι μῆνας πέντε· καὶ ὁ βασανισμὸς αὐτῶν ὡς βασανισμὸς σκορπίου, ὅταν παίσῃ ἄνθρωπον.

6 **Κ**αὶ ἐν ταῖς ἡμέραις ἐκείναις ζητήσουσιν οἱ ἄνθρωποι τὸν θάνατον, καὶ οὐχ εὑρήσουσιν αὐτόν· καὶ ἐπιθυμήσουσιν ἀποθανεῖν, καὶ φεύξεται ὁ θάνατος ἀπ' αὐτῶν.

**Ο** μὴν ἐστι διάστημα, δωδεκάκις μετροῦν τὸν χρόνον· μῆνας οὖν ἐνταῦθα νόησον τὸν ἅπαντα αἰώνιον χρόνον, ἐν' ᾧ διαμενοῦσιν οἱ ἁμαρτωλοὶ κολαζόμενοι. Πέντε δὲ τοὺς μῆνας τῆς κολάσεως αὐτῶν εἴρηκε· ταῖς γὰρ πέντε αἰσθήσεσι παρώργισαν τὸν Θεόν, καὶ ζητήσουσιν ἐν ἐκείναις ταῖς κολάσεσι τιμωρούμενοι τὸν θάνατον πρὸς ἀνάπαυσιν τῶν ὀδυνῶν, καὶ οὐχ εὑρήσουσιν αὐτόν· ἀτελεύτητος γὰρ ἡ ἐκεῖσε ζωή.

7 **Κ**αὶ τὰ ὁμοιώματα τῶν ἀκρίδων, ὅμοια ἵπποις ἡτοιμασμένοις εἰς πόλεμον· καὶ ἐπὶ τὰς κεφαλὰς αὐτῶν ὡς στέφανοι ὅμοιοι χρυσῷ, καὶ τὰ πρόσωπα αὐτῶν ὡς πρόσωπα ἀνθρώπων.

8 **Κ**αὶ εἶχον τρίχας ὡς τρίχας γυναικῶν· καὶ οἱ ὀδόντες αὐτῶν ὡς λεόντων ἦσαν.

9 **Κ**αὶ εἶχον θώρακας ὡς θώρακας σιδηροῦς· καὶ ἡ φωνὴ τῶν πτερύγων αὐτῶν ὡς φωνὴ ἁρμάτων ἵππων πολλῶν, τρεχόντων εἰς πόλεμον.

10 **Κ**αὶ ἔχουσιν οὐρὰς ὁμοίας σκορπίοις, καὶ κέντρα ἦν ἐν ταῖς οὐραῖς αὐτῶν· καὶ ἡ ἐξουσία αὐτῶν ἀδικῆσαι τοὺς ἀνθρώπους μῆνας πέντε.

11 **Κ**αὶ ἔχουσιν ἐφ᾿ αὐτῶν βασιλέα τὸν ἄγγελον τῆς ἀβύσσου, ὄνομα αὐτῷ Ἑβραϊστὶ Ἀβαδδὼν, καὶ ἐν τῇ Ἑλληνικῇ ὄνομα ἔχει Ἀπολλύων.

Αἱ ἀκρίδες ἦσαν ὅμοιαι ἵπποις ἡτοιμασμένοις εἰς πόλεμον· ὥσπερ γὰρ ἵπποι ἐν καιρῷ πολέμου ταχύτητα καὶ ὁρμητικὴν ἔφοδον ἀπειλοῦσιν, οὕτω καὶ ἡ ὀργὴ τοῦ Θεοῦ ἐπὶ τοὺς πολεμίους αὐτοῦ ἐν ταχύτητι καὶ βιαίᾳ ὁρμῇ φέρεται· οἱ δὲ ἐπὶ τὰς κεφαλὰς αὐτῶν στέφανοί εἰσι σημεῖα τῆς νίκης καὶ κατατροπώσεως τῶν ἁμαρτωλῶν. Οὗτοι οἱ στέφανοι οὐ χρυσοῖ ὤφθησαν, ἀλλ' ὅμοιοι χρυσῷ, δηλοῦντος τοῦ λόγου, ὅτι ὁ μὲν οἰκτίρμων καὶ ἐλεήμων Θεὸς, οὐ θελήσει θέλει τὴν ἀπώλειαν τῶν ἀνθρώπων οὐδὲ τὴν κόλασιν αὐτῶν, οἱ δὲ ἁμαρτωλοὶ διὰ κακοβουλίαν ὡς χρυσὸν πολύτιμον προετίμησαν καὶ ἠγάπησαν τὴν ἑαυτῶν ἀπώλειαν. Τὰ δὲ πρόσωπα τῶν ἀκρίδων ὡς πρόσωπα ἀνθρώπων, ὅτι οἱ δαίμονες ἀπατῶσι τοὺς ἀνθρώπους, τῇ παραζηλώσει ἑτέρων ἀνθρώπων πονηρευομένων, τῷ ὁμοίῳ τὸ ὅμοιον διαφθείροντες, διὸ εἴρηται· «Μὴ παραζήλου ἐν πονηρευομένοις» (1). Αἱ δὲ γυναικεῖαι τρίχες σημαίνουσι τὸ ἀπατηλὸν τῆς κακίας καὶ κρυψίνοον· οἱ γὰρ ἀπατεῶνες κρύπτουσι τὸ ψεῦδος αὐτῶν, ὡς κρύ-

(1) Ψαλμ. λϛ', 1.

ψιν τριχῶν, καὶ αἱ σαρκικαὶ ἐπιθυμίαι ὑπὸ τὴν πρόσκαιρον ἡδονὴν κρύπτουσι τὴν ἀσχημοσύνην αὐτῶν καὶ τὰς μελλούσας ἀλγηδόνας, ὕστερον δὲ ἐπιφέρουσι τοῖς ἐργαζομένοις τὰς ἀνυποίστους βασάνους, τὰς ὡς ὀδόντας λεόντων ὑπαρχούσας. Ἔτι δὲ δηλοῦσιν αἱ τρίχες, ὅτι διὰ τὸ πληθυνθῆναι τὰς ἁμαρτίας αὐτῶν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς, διὰ τοῦτο πληθύνονται καὶ αἱ βάσανοι αὐτῶν, ὡς πλῆθος γυναικείων τριχῶν. Ἔτι δὲ αἱ τρίχες ἔχουσαι τὴν γένεσιν ἐκ τῆς τῶν χυμῶν ἀναθυμιάσεως, καὶ ξηρότεραι ὑπάρχουσαι τῶν ἄλλων μελῶν ἔχουσιν ὁμοιότητα τῶν τε ἁμαρτιῶν, καὶ τῆς κατὰ τῶν ἁμαρτανόντων τιμωρίας τοῦ Θεοῦ· τῶν μὲν, ὅτι ἐκ τῆς κακῆς προαιρέσεως αἱ κακαὶ πράξεις ἀναφύονται καὶ ἄνικμοί εἰσι· τῆς δὲ, ὅτι ἡ τιμωρία τῶν κακῶν ἀναθυμίασίς ἐστιν ἐκ τῆς δικαίας τοῦ Θεοῦ ὀργῆς ἀναδιδομένη, καὶ ἀνηλεὴς ἐστι τοῖς μὴ πράξασιν ἔλεος. Οἱ δὲ θώρακες οἱ σιδηροῖ δηλοῦσι τὸ ἀντίτυπον καὶ σκληρὸν τῆς ἐφόδου τῶν ποινῶν. Αἱ δὲ πτέρυγες τὴν ταχύτητα τῆς ἐπελεύσεως. Αἱ σκορπιοειδεῖς οὐραὶ καὶ τὰ κέντρα τὰ ἐν ταῖς οὐραῖς αὐτῶν δηλοῦσιν, ὅτι ὥσπερ οἱ σκορπίοι οὐχ ὁπλαῖς οὐδὲ ὄνυξιν, ἀλλὰ τοῖς ὄπισθεν καὶ οὐραίοις κέντροις πλήττουσιν, οὕτω καὶ ὁ διάβολος οὐκ ἐν ταῖς ἀρχαῖς δείκνυσι τὴν τῆς ἁμαρτίας ὀδύνην τοῖς ἀπατωμένοις, οὐδὲ αἴσθησιν αὐτοῖς παρέχει ἐν ἀρχαῖς τῆς ἐκ τῆς ἁμαρτίας βλάβης, ἀλλ' ἐν τῷ τέλει, καὶ ἐν τοῖς μετὰ ταῦτα, θανάτῳ παραδιδομένοις διὰ τὴν ἀμετανοησίαν· καὶ συνελόντι φάναι, ἐν τοῖς ἐσχάτοις καὶ οὐραίοις ἐστὶν ἡ πληγὴ καὶ ἡ κόλασις τῆς ἁμαρτίας. Ἄγγελος δὲ τῆς ἀβύσσου, ᾧ ὄνομα Ἑβραϊστὶ μὲν Ἀβαδδὼν, Ἑλληνιστὶ δὲ Ἀπολλύων, ἥ ἐστιν εἷς τῶν ἁγίων ἀγγέλων, τῶν ὑπουργούντων τῷ Θεῷ, καταστὰς πρὸς τιμωρίαν τῶν κακῶν, οἷος ἦν ὁ τὰ πρωτότοκα τῆς Αἰγύπτου ἀνελών· (οὗ τὸ ὄνομα ὀλοθρευτὴν εἴρηκεν ἡ Γραφὴ, ταυτοσήμαντον τῷ Ἀπολλύων) (1)· καὶ

(1) Ἐξοδ. ιβ', 23.

οἷος ἦν ὁ φονεύσας ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας (1), καὶ ὁ καταγαγὼν ἐπὶ τὰ Σόδομα πῦρ καὶ θεῖον (2)· ἡ ἄγγελός ἐστιν ἄρχων τῶν δαιμονίων, ἀπωλείας ποιητικὸς καὶ τῶν ἁμαρτωλῶν τιμωρητικός.

12 Η οὐαὶ ἡ μία ἀπῆλθεν· ἰδοὺ ἔρχονται ἔτι δύω οὐαὶ μετὰ ταῦτα.

Τὰ μὲν διὰ τῆς πέμπτης σάλπιγγος ἐπελθόντα δεινὰ παρῆλθόν φησι· τούτοις δὲ παρέπεται τὰ διὰ τῆς ἕκτης καὶ ἑβδόμης, τὰ πλείονος θρήνου καὶ ταλανισμῶν ἄξια.

13 Καὶ ὁ ἕκτος ἄγγελος ἐσάλπισε, καὶ ἤκουσα φωνὴν μίαν ἐκ τῶν τεσσάρων κεράτων τοῦ θυσιαστηρίου τοῦ χρυσοῦ τοῦ ἐνώπιον τοῦ Θεοῦ.

14 Λέγουσαν τῷ ἕκτῳ ἀγγέλῳ, ὃς εἶχε τὴν σάλπιγγα· Λῦσον τοὺς τέσσαρας ἀγγέλους τοὺς δεδεμένους ἐπὶ τῷ ποταμῷ τῷ μεγάλῳ Εὐφράτῃ.

15 Καὶ ἐλύθησαν οἱ τέσσαρες ἄγγελοι, οἱ ἡτοιμασμένοι εἰς τὴν ὥραν καὶ ἡμέραν καὶ μῆνα καὶ ἐνιαυτὸν, ἵνα ἀποκτείνωσι τὸ τρίτον τῶν ἀνθρώπων.

Τὸ θυσιαστήριον τὸ εἰκονισθὲν τῷ Μωϋσῇ ἐν τῷ ὄρει Σινᾷ, καὶ καθ' ὁμοίωσιν αὐτοῦ διὰ προστάγματος Θεοῦ ποιηθὲν ὑπὸ τοῦ θεόπτου, ὑπῆρχε τετράγωνον, εἶχε δὲ καὶ στεφάνια στρεπτὰ, μετεωρούμενα ὁπωσοῦν πρὸς τὸ κατέχειν καὶ μὴ ἐᾷν ἐκχεῖσθαι

(1) Δ' Βασ. ιθ'. 25· (2) Γεν. ιθ'.

ἐπὶ γῆς τὰ κρέατα καὶ τὰ στέατα τῶν θυσιῶν. Ὡσαύτως καὶ ἐν ταῖς τέσσαρσι γωνίαις αὐτοῦ ἐπέκειντο τέσσαρες ἀμφορεῖς, κέρατα τοῦ θυσιαστηρίου λεγόμενοι, καὶ οὗτοι ἦσαν πρὸς τὸ κατέχειν τὰ ξύλα, καὶ ἵνα μὴ ἐκπίπτωσι τὰ ὁλοκαυτούμενα. Τοῦτο δὲ τὸ θυσιαστήριον ἦν τύπος τοῦ παρ' ἡμῖν ἱεροῦ θυσιαστηρίου· διὸ καὶ τετράγωνον ἦν ἐκεῖνο, δεικνῦντος τοῦ τύπου, ὅτι ἐν τῷ ἱερῷ ἡμῶν θυσιαστηρίῳ ἔμελλε προσφέρεσθαι τὴν λογικὴν καὶ ἀναίμακτον θυσίαν, οὐκ ἐν ἑνὶ τόπῳ, ὡς ἡ νομικὴ λατρεία, ἀλλ' ἐν τοῖς τέσσαρσι πέρασι τῆς οἰκουμένης. Ὑπῆρχε δὲ καὶ τύπος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· οὗτος γάρ ἐστι πρέσβυς καὶ μεσίτης Θεοῦ καὶ ἀνθρώπων. Ἐνταῦθα οὖν λέγει ἡ Ἀποκάλυψις, ὅτι τὸ θυσιαστήριον ἐνώπιον τοῦ Θεοῦ ἐστιν· οὐκ ἀφίσταται γὰρ ὁ Υἱὸς τοῦ Πατρός· ἐν ἀρχῇ γὰρ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν· ὅτι καὶ προσδέχεται πάντας τοὺς προσάγοντας ἑαυτοὺς θυσίαν λογικὴν εὐάρεστον τῷ Θεῷ ἐκ τῶν τεσσάρων τῆς οἰκουμένης μερῶν. Στεφάνια δὲ καὶ κέρατα τοῦ θυσιαστηρίου εἰσὶν αἱ ἀγγελικαὶ δυνάμεις, αἱ συνέχουσαι τὰ θεῖα μυστήρια, περιέπουσαί τε καὶ φυλάττουσαι αὐτά, καὶ αἱ συντηροῦσαι τὰς λογικὰς θυσίας, καὶ μὴ ἐῶσαι τοὺς κόπους αὐτῶν, τῶν ἑαυτοὺς προσφερόντων, εἰς μάτην ἐκχεῖσθαι. Ἐκ τούτων οὖν τῶν ἀγγελικῶν δυνάμεων ἠκούσθη ἡ φωνὴ ἡ λέγουσα, λῦσον τοὺς τέσσαρας ἀγγέλους, ἐπιποθοῦντας οἱονεὶ τὴν κατὰ τῶν πονηρῶν ἄμυναν καὶ τὴν τῶν ἐναρέτων ἄνεσιν. Ποταμὸς δὲ μέγας ἐστὶν ὁ αὐτὸς Ἰησοῦς Χριστός, καθὰ καὶ Ἡσαΐας εἴρηκεν ἀπὸ προσώπου αὐτοῦ τοῦ Θεοῦ· «Ἰδοὺ ἐγὼ κλινῶ πρὸς αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάῤῥους πλημμυρῶν δόξαν τῶν ἐθνῶν» (1)· καὶ Δαβὶδ ἔφη· «Τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν τοῦ Θεοῦ (2)· τοῦτον καὶ Εὐφράτην νοητέον· κατὰ γὰρ τὴν θείαν Γραφήν, ἐν τῷ Εὐφράτῃ γεννᾶται τὸ χρυσίον τὸ καθαρόν,

(1) Ἠσ. ξς', 12. (2) Ψαλμ. μέ, 5.

καὶ ὁ λίθος ὁ πράσινος, ἅτινα σημαίνει τὴν βασιλείαν καὶ τὴν ἱερωσύνην, τὰ ἐν τῷ Σωτῆρι ἡμῶν συνελθόντα· ἢ τὸ ἄφθαρτον καὶ ἀειθαλὲς αὐτοῦ. Ἀγγέλους δὲ τέσσαρας λέγει λυθῆναι τοὺς ἐν τῇ Γραφῇ ὀνομαζομένους, Μιχαὴλ, Γαβριὴλ, Ῥαφαὴλ, καὶ Οὐριὴλ, ἀρχηγοὺς οὐρανίων στρατιῶν ὑπάρχοντας, οὓς ἐν τῷ Εὐφράτῃ τῷ μεγάλῳ ποταμῷ δεδέσθαι φησὶ, σημαίνοντος τοῦ λόγου, ὅτι προσεδρεύουσι, καὶ ὡς δεδεμένοι ἀμετακινήτως ἔχουσι περὶ τὴν θεωρίαν τοῦ Θεοῦ, Εὐφράτου αἰνιγματικῶς ὀνομασθέντος, καὶ διηνεκῶς περὶ αὐτὸν τυγχάνοντας εἰς τὸ ἐκπληρεῖν τὰ πρὸς σωτηρίαν τῶν ἀνθρώπων θεῖα θελήματα. Ἔτι δὲ, ὡς δεδεμένους τούτους ὁ λόγος παρεισάγει, καὶ ὡς μακροθυμοῦντας καὶ ἀναβάλλοντας τὴν τῶν πονηρῶν ἐκδίκησιν μέχρι καιροῦ, τῷ Θεῷ ἐγνωσμένου· οὗ τινος πληρωθέντος, καὶ φθασάσης τῆς ὥρας, καὶ ἡμέρας, καὶ τοῦ μηνὸς, καὶ τοῦ ἐνιαυτοῦ, (δηλαδὴ τῆς προθεσμίας τῆς παρὰ Θεοῦ προορισθείσης) λυθήσονται τῷ προστάγματι τοῦ Θεοῦ, τουτέστιν ἀφεθήσονται καὶ ἐπιτραπήσονται ἐπαγαγεῖν ἐπικαίρως τοῖς ἀμετανοήτοις τῶν ἀνθρώπων τὰς ἡτοιμασμένας αὐτοῖς ποινάς.

16 Καὶ ὁ ἀριθμὸς στρατευμάτων τοῦ ἱππικοῦ, δύω μυριάδες μυριάδων· καὶ ἤκουσα τὸν ἀριθμὸν αὐτῶν.

Οἱ ὀνομασθέντες ἄγγελοι, ἀρχιστράτηγοι ὄντες, ἔχουσι καὶ τάγματα ἀγγελικὰ, ἅτινα λέγεται στρατεύματα αὐτῶν· ἱππεῖς δὲ ὀνομάζονται, ὡς ἐπὶ καταπολέμησιν τῶν ἐχθρῶν τοῦ Θεοῦ κινούμενοι, διά τε τὸ ταχὺ καὶ τὸ κοῦφον τῆς αὐτῶν ἐπεξελεύσεως. Μυριάδες δὲ μυριάδων ὤφθησαν τῷ Εὐαγγελιστῇ, ὡς καὶ τῷ Δανιὴλ προείρηται.

17 Καὶ οὕτως εἶδον τοὺς ἵππους ἐν τῇ ὁράσει,

καὶ τοὺς καθημένους ἐπ' αὐτῶν ἔχοντας θώρακας πυρίνους καὶ ὑακινθίνους καὶ θειώδεις· καὶ αἱ κεφαλαὶ τῶν ἵππων ὡς κεφαλαὶ λεόντων, καὶ ἐκ τῶν στομάτων αὐτῶν ἐκπορεύεται πῦρ, καὶ καπνὸς καὶ θεῖον.

Οἱ καθήμενοι ἐπὶ τῶν ἵππων εἰσὶν οἱ ἄγγελοι, οἱ κατέχοντες τὰς ἡνίας ἡμῶν καὶ διϊθύνοντες, καὶ τὰ ἤθη ἡμῶν ῥυθμίζοντες, καὶ τὰ πάθη καταστέλλοντες, ὥσπερ οἱ ἱππεῖς ἡνιοχοῦσι καὶ χαλιναγωγοῦσι τοὺς ἵππους. Θώρακες δὲ πύρινοι καὶ ὑακίνθινοι, καὶ θειώδεις σημαίνουσι τὴν θερμότητα τοῦ ζήλου αὐτῶν κατὰ τῆς τῶν ἁμαρτωλῶν παιδείας, οὓς μετελεύσονται ὃν τρόπον ἐτιμωρήσαντο τοὺς Σοδομίτας, καταφλέξαντες αὐτοὺς πυρὶ καὶ θείῳ. Ἵπποι δὲ αὐτῶν εἰσι καὶ οἱ χρηματίσαντες ὀχήματα τῶν θείων δικαιωμάτων ἅγιοι, οἵτινες τῇ ἡνιοχίᾳ καὶ ῥυθμίσει τῶν ἀγγέλων ἐβίωσαν ἐν γῇ πολιτείαν ἰσάγγελον καὶ πνευματικήν· οὗτοι γὰρ χαλιναγωγοῦσι τὰ ἤθη καὶ ἐπανορθοῦσι τὰς διαθέσεις ἡμῶν· περὶ γὰρ τοῦ Παύλου ἐχρηματίσθη ὑπὸ Θεοῦ Ἀνανίᾳ τῷ Ἀποστόλῳ, εἰπόντος· Σκεῦός μοι ἐκλογῆς ἐστι τοῦ βαστάσαι τὸ ὄνομά μου ἐναντίον τῶν ἐθνῶν (1)· ὥσπερ καὶ οἱ λοιποὶ Ἀπόστολοι καὶ οἱ τούτων διάδοχοι ἐχρημάτισαν ὀχήματα, βαστάζοντα τὸ ὄνομα καὶ τὰ δικαιώματα τοῦ Θεοῦ ἐνώπιον βασιλέων καὶ τυράννων καὶ διαφόρων ἐθνῶν. Τὸ δὲ εἶναι τὰς κεφαλὰς τῶν ἵππων, ὡς κεφαλαὶ λεόντων, δηλοῖ, ὅτι τοὺς ἐμπιστευθέντας τὸ κήρυγμα τοῦ λόγου τῆς ἀληθείας δέον εἶναι τολμηρούς, λεοντοειδεῖς, καὶ προθύμους, καὶ πνεύματι ζέοντας, ὥστε πόῤῥωθεν μὲν καὶ ἀπόντας ἐκφοβεῖν τοὺς μαθητάς·

(1) Πραξ. θ', 15.

ἐγγύθεν δὲ καὶ παρόντας, προϊέναι ἐκ τοῦ στόματος αὐτῶν πῦρ τῆς παιδείας, καὶ καπνὸν τοῦ θυμοῦ κατὰ τῶν πονηρευομένων, καὶ τὸν λόγον αὐτῶν ποιεῖν διαβατικὸν ὡς τὸ θεῖον, καὶ περιχωρητικὸν, ὡς καὶ Παῦλος ἀπειλῶν ἔγραφε πρὸς Κορινθίους· «Μὴ θέλετε ἐλθεῖν με πρὸς ὑμᾶς ἐν ῥάβδῳ» (1). Οὕτω καὶ Πέτρος τὸν Ἀνανίαν νοσφισάμενον ἀπὸ τῆς τιμῆς τοῦ χωρίου, διὰ λόγου ἐτιμωρήσατο, ὡς διὰ πυρὸς καὶ θείου. Ὡσαύτως καὶ οἱ λοιποὶ Ἀπόστολοι τοὺς ἀπειθοῦντας οὐ διὰ βίου καὶ παιδεύσεως κοσμικῆς, ἀλλ' ἐν ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ.

18 Ὑπὸ τῶν τριῶν τούτων ἀπεκτάνθησαν τὸ τρίτον τῶν ἀνθρώπων, ἐκ τοῦ πυρὸς καὶ τοῦ καπνοῦ καὶ ἐκ τοῦ θείου τοῦ ἐκπορευομένου ἐκ τῶν στομάτων αὐτῶν.

19 Αἱ γὰρ ἐξουσίαι αὐτῶν ἐν τῷ στόματι αὐτῶν εἰσιν· αἱ γὰρ οὐραὶ αὐτῶν, ὅμοιαι ὄφεσιν, ἔχουσαι κεφαλὰς, καὶ ἐν αὐταῖς ἀδικοῦσι.

20 Καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων, οἳ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς ταύταις, οὐ μετενόησαν ἐκ τῶν ἔργων τῶν χειρῶν αὐτῶν, ἵνα μὴ προσκυνήσωσι τὰ δαιμόνια, καὶ εἴδωλα τὰ χρυσᾶ καὶ τὰ ἀργυρᾶ καὶ τὰ χαλκᾶ καὶ τὰ λίθινα καὶ τὰ ξύλινα, ἃ οὔτε βλέπειν δύναται, οὔτε ἀκούειν, οὔτε περιπατεῖν.

(1) Κορ. δ', 21.

21 Καὶ οὐ μετενόησαν ἐκ τῶν φόνων αὐτῶν, οὔτε ἐκ τῶν φαρμακειῶν αὐτῶν, οὔτε ἐκ τῆς πορνείας αὐτῶν, οὔτε ἐκ τῶν κλεμμάτων αὐτῶν.

Ἡ ἐξουσία τῶν Ἀποστόλων καὶ ἡ δυναστεία αὐτῶν οὐκ ἦν ἐν ἅρμασιν, ἢ ἐν ἐπιστήμαις, ἢ ἐν πλούτῳ, ἢ ἐν δυναστείᾳ ἀνθρωπίνῃ, ἀλλ' ἐν λόγῳ ἀληθείας, ἐκπορευομένῳ ἐκ τοῦ στόματος αὐτῶν, καὶ ἐν τῇ δυνάμει τοῦ Κυρίου ἡμῶν, τοῦ συνεργοῦντος αὐτοῖς, καὶ τὸν λόγον βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων. Ὅσοι οὖν πεισθέντες τοῖς λόγοις αὐτῶν ἐπίστευσαν, οὗτοι καὶ ἐσώθησαν· οἱ δὲ ἀπειθήσαντες, καὶ τῇ διδασκαλίᾳ αὐτῶν μὴ πεισθέντες, οὐδαμῶς σωτηρίας ἔτυχον· οὐ μὴν ἀλλὰ καὶ τὸ τρίτον αὐτῶν, τουτέστιν πολὺ πλῆθος αὐτῶν ἀπώλετο· ἡ γὰρ βλάπτουσα αὐτοὺς ὀργὴ παρείπετο οἱονεὶ οὐρὰ συνεχὴς καὶ παρακειμένη τῇ ἀπειθείᾳ αὐτῶν, καὶ ἐφεξῆς τῆς κακίας αὐτῶν παρεπομένη, ὡς ἡ οὐρὰ κεκόλληται τῷ λοιπῷ σώματι. Ὁ δὲ δηγμὸς ταύτης τῆς ὀργῆς σφοδρὸς καὶ ἐπίπονος, ὡς δηγμὸς ὄφεων· ἢ αἱ οὐραὶ, αἳ ἔχουσαι κεφαλὰς ὄφεων σημαίνουσιν ὅτι οἱ Ἀπόστολοι διεμαρτύροντο καὶ ἠπείλουν αὐτοὺς, ταῖς οὐραίαις καὶ ἐσχάταις κολάσεσι, ταῖς ἀποκειμέναις τοῖς ἀσεβέσιν ἐφεξῆς μετὰ τὴν ἐνθένδε ἀπαλλαγήν· πολλοὶ δὲ καὶ ἐκ τῶν ἀπειθησάντων ἔμειναν μὲν ἐν τοῖς ζῶσιν, ἵνα γνωσθῇ ἡ φιλανθρωπία τοῦ Θεοῦ, καὶ ἡ πολλὴ ἀγαθότης, καὶ μὴ δόξῃ ἡ τιμωρία τῶν ἀποκτανθέντων ἀδικία Θεοῦ, μὴ παρασχόντος αὐτοῖς καιρὸν εἰς μετάνοιαν· καὶ ἵνα μείνωσιν ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἀναπολόγητοι, γνωσθείσης τῆς ἐπιμόνου αὐτῶν κακίας. Διὰ τοῦτο περιελείφθησάν τινες, οἳ οὐκ ἀπεκτάνθησαν ἐν ταῖς πληγαῖς ταῖς προλαβούσαις, ἀλλ' οὐδὲ οὗτοι μετενόησαν, οὐδὲ ἀπέσχοντο ἀπὸ τῶν πονηριῶν αὐτῶν· καὶ ἐκ τούτου ἐγνώσθη ἥ τε τοῦ Θεοῦ μακροθυμία, καὶ ἡ τῶν ἀνθρώπων κακοβουλία.

## ΚΕΦΑΛΑΙΟΝ Ι΄.

1 Καὶ εἶδον ἄλλον ἄγγελον ἰσχυρὸν κατα
βαίνοντα ἐκ τοῦ οὐρανοῦ, περιβεβλημένον νεφέλην·
καὶ ἶρις ἐπὶ τῆς κεφαλῆς, καὶ τὸ πρόσωπον αὐτοῦ,
ὡς ὁ ἥλιος· καὶ οἱ πόδες αὐτοῦ, ὡς στύλοι πυρός.
2 Καὶ εἶχεν ἐν τῇ χειρὶ αὐτοῦ βιβλιαρίδιον ἀ-
νεῳγμένον· καὶ ἔθηκε τὸν πόδα αὐτοῦ τὸν δεξιὸν
ἐπὶ τὴν θάλασσαν· τὸν δὲ εὐώνυμον ἐπὶ τὴν γῆν.

Τὴν κιβωτὸν τῆς παλαιᾶς Διαθήκης ἐπεκάλυπτε γνόφος καὶ νεφέλη· διὸ καὶ ὁ ἄγγελος ὁ εἰρημένος ἐνταῦθα, ὁ προστάγματι τοῦ οὐρανίου Θεοῦ καταβὰς, ὡράθη περιβεβλημένος νεφέλην, δηλοῦσαν τὸ ἀόρατον καὶ κεκαλυμμένον καὶ ἀφανὲς τῆς αὐτοῦ φύσεως, οἱονεὶ καλυπτομένης νεφέλῃ· ἡ δὲ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἶρις σημαίνει, ὅτι διαδέδηται καὶ περιέστεπται ποικίλαις ἀρεταῖς καὶ χαρίσμασι καὶ διαφόροις ὑπουργίαις, ὧν πρὸς ἐκτέλεσιν παρὰ Θεοῦ πέμπεται. Ἔτι δὲ σημαίνει, ὅτι ὥσπερ ἡ ἶρις εἰκονίζεται κατέναντι ἡλίου γενομένη, καὶ πολύχρους μὲν ἐστι, τὰ δὲ χρώματα αὐτῆς ἀδιάστατα ἀπ᾽ ἀλλήλων καὶ ἀδιάκριτα, ἔστι δὲ καὶ τηλαυγὴς, οὕτω καὶ οἱ ἄγγελοι κατέναντι ὑπάρχοντες τῆς τρισηλίου θεότητος ἀπολαμβάνουσι παρ᾽ αὐτῆς ποικίλα χαρίσματα, ἡνωμένα ἀλλήλοις, καὶ πεπληρωμένα τῷ θείῳ φωτὶ, οἷος ὁ ἐνταῦθα ἄγγελος. Τὸ δὲ εἶναι τὸ πρόσωπον αὐτοῦ ὡς ἥλιος, δηλοῖ τὸ καθαρὸν καὶ φωτοειδὲς τῆς αὐτοῦ φύσεως· ὥσπερ γὰρ τὸ διειδὲς ὕδωρ, καὶ τὸ εἰλικρινὲς κάτοπτρον, κατέναντι τοῦ ἡλίου γενόμενα, οὐχὶ ἥλιος, ἀλλ᾽ ὡς ἥλιος γίγνονται, ἀντιβλέπειν αὐτοῖς τὰς ὁράσεις μὴ συγχωροῦντα, οὕτω

καὶ οἱ ἄγγελοι, καθαρὰν καὶ εἰλικρινῆ τὴν φύσιν ἔχοντες, καὶ ἀμιγῆ τῶν τῆς ἁμαρτίας θολώσεων καὶ κηλίδων, κατέναντι τοῦ ἡλίου τῆς δικαιοσύνης ὑπάρχοντες, ἔχουσι τὰ πρόσωπα ὡς ὁ ἥλιος, τουτέστι θεοειδῆ καὶ φωτεινὰ, λάμποντες, ὡς καὶ οἱ δίκαιοι λάμψουσιν ἐν τῇ βασιλείᾳ τοῦ Θεοῦ. Οἱ δὲ πόδες αὐτοῦ, οὐ σαρκικοὶ οὐδὲ περιπατητικοί εἰσιν· οἱ γὰρ ἄγγελοι ἀπηλλαγμένοι ὑπάρχουσι σαρκὸς καὶ σαρκικῶν μελῶν· πόδες μέν τοι αὐτῶν λέγονται αἱ πρὸς ἐκτέλεσιν τῶν θείων προσταγμάτων παρουσίαι καὶ ἐπιφοιτήσεις αὐτῶν, ἐκ μεταφορᾶς τῶν τὰς καταβάσεις καὶ ἐπιφοιτήσεις, διὰ σαρκικῶν ποδῶν ποιουμένων. Τὸ δὲ εἶναι τοὺς πόδας αὐτοῦ ὡς στύλοι πυρὸς, σημαίνει ὅτι ἡ κατάβασις τούτȣ τοῦ ἀγγέλου γίνεται τοῖς μὲν δικαίοις πρὸς φωτισμόν· τοῖς δὲ ἁμαρτωλοῖς πρὸς καῦσιν καὶ τιμωρίαν σφοδράν. Τὸ δὲ ἐν τῇ χειρὶ αὐτοῦ ἀνεῳγμένον βιβλιαρίδιον, ὅμοιόν ἐστι τῷ παρὰ τοῦ Δανιὴλ τοῦ Προφήτου εἰρημένῳ· «Ὅτι κριτήριον ἐκάθισε καὶ βίβλοι ἀνεῴχθησαν» (1), τουτέστιν ἡ γνῶσις τῶν ἀνθρωπίνων ἔργων ἀνεκαλύφθη, καὶ τὰ ἐπιλελησμένα ἀνεμνήσθη· ἑνικῶς μέντοι ἐνταῦθα εἴρηται, καὶ οὐ πληθυντικῶς κατὰ τὸν Δανιήλ· ὁ μὲν γὰρ περὶ τῆς κοινῆς εἴρηκε κρίσεως, τῆς ἀνακαλυπτούσης τὰ ἔργα πάντων ἀνθρώπων, δικαίων τε καὶ ἁμαρτωλῶν· ἐνταῦθα δὲ, τῷ ἐν τῇ χειρὶ τοῦ ἀγγέλȣ τὰ ἔργα μόνον τῶν ἁμαρτωλῶν δηλοῦται, ὅθεν καὶ ὑποκοριστικῷ ἐχρήσατο ὀνόματι, βιβλιαρίδιον εἰπὼν, ἵνα διαστείλῃ τὸ μερικὸν τοῦ καθόλου. Τὸ δὲ θεῖναι τὸν μὲν τῶν ποδῶν, ἐπὶ τὴν θάλασσαν, τὸν δὲ, ἐπὶ τὴν γῆν πρῶτον μὲν ἐμφαίνει διὰ τούτου τὸ μέγεθος τοῦ ἀγγέλου, καὶ τὴν ἰσχὺν αὐτοῦ, δι' ἣν καὶ ὤφθη εἰπών· εἶδον ἄγγελον ἰσχυρόν· δεύτερον δὲ τὴν τάξιν ὑποτυποῖ καὶ τὴν θέσιν τῶν στοιχείων· τὸ γὰρ ὕδωρ ἐπάνω τῆς γῆς ἐστι καὶ προφανέστερον, διὸ καὶ τὴν θάλασσαν προτέταχε τῆς ἠπείρου· ἐπεὶ δὲ τὸ πλημμελέστερον μᾶλλον ποινηλατίζε-

(1) Δαν. ζ', 10.

σθαι θέμις, ἡ δὲ θάλασσα τοιαύτη· ἐν αὐτῇ γὰρ οἱ ἄνθρωποι, κακομηχανίαις καὶ ἐπιβουλαῖς καὶ ῥᾳδιουργίαις χρῶνται μᾶλλον ἢ ἐν τῇ ἠπείρῳ, ἄρα καὶ πλείονος τιμωρίας ἔνοχος· διὰ τοῦτο καὶ ὁ ἄγγελος ὤφθη τὸν δεξιὸν ἰσχυρότερον καὶ ἐναργέστερον ὄντα πόδα, ἐν τῇ θαλάσσῃ τεθεικώς. Πρὸς τοῦτο ἔτι λέγομεν ὅτι οἱ τῆς δεξιᾶς μερίδος, τουτέστιν οἱ τῶν ἐναρέτων καὶ ἀγαθῶν ἔργων πράκτορες, μᾶλλον πολεμοῦνται καὶ κακοῦνται ὑπὸ τοῦ κακομηχάνου, ἢ οἱ τῆς ἀριστερᾶς μερίδος· ὅθεν καὶ δέονται πλείονος βοηθείας τῆς παρὰ τοῦ ὑψίστου, ὡς παρὰ τοῦ Δαβὶδ εἴρηται· Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου, ἐκθέντος τὸ πλεῖστον τῇ δεξιᾷ. Οἱ οὖν τοὺς τῆς δεξιᾶς μερίδος πιέζοντες πικροὶ καὶ πολυτάραχοι, (οἵτινες ἂν εἶεν οὗτοι, εἴτε ἄνθρωποι, εἴτε δαίμονες) μᾶλλον πιεσθήσονται ὑπὸ τῆς θείας παιδεύσεως, ὡς δι' ἰσχυροτέρου πιεστηρίου· οἱ γὰρ ἀσεβεῖς καὶ κακεντρεχεῖς ἄνθρωποι, τῇ ἁλμυρᾷ καὶ πολυκυμάντῳ θαλάσσῃ ἐοίκασιν· οἱ δὲ Χριστιανοὶ μὲν, ἁμαρτάνοντες δὲ, καὶ τὰς ψυχὰς αὐτῶν μόνον βλάπτοντες, τῇ γῇ ὡς χαμαίζηλοι καὶ περὶ τὰ γήϊνα ἐπτοημένοι. Οἱ οὖν πρῶτοι ἰσχυρότερον πιεσθήσονται, οἱ δὲ ἧττον.

3 Καὶ ἔκραξε φωνῇ μεγάλῃ, ὥσπερ λέων μυκᾶται· καὶ ὅτε ἔκραξεν, ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ τὰς ἑαυτῶν φωνάς.

4 Καὶ ὅτε ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ τὰς φωνὰς ἑαυτῶν, ἔμελλον γράφειν· καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσάν μοι, σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταὶ, καὶ μὴ ταῦτα γράψῃς.

Αἱ ἑπτὰ βρονταί εἰσιν αἱ ἀγγελικαὶ δυνάμεις, ἃς προέση-

μεν· τὸ γὰρ λαλῆσαι τῶν λογικῶν ἴδιον, καὶ οὐ τῶν ἀψύχων βροντῶν, διὰ δὲ τὸ εἶναι τὰ λαληθέντα φοβερὰ καὶ φρίκης ποιητικὰ, βρονταῖς παρεικάσθησαν. Ταῦτα δὲ κεκώλυκεν ὁ Θεὸς τὸν Εὐαγγελιστὴν γραφῇ παραδοῦναι, τῆς οὐρανίου Θεοῦ φωνῆς εἰπούσης αὐτῷ· σφράγισον ἃ ἐλάλησαν αἱ ἑπτὰ βρονταί. Οὕτως εἴρηται καὶ Δανιὴλ τῷ Προφήτῃ παρὰ τοῦ κελεύσαντος αὐτὸν σφραγῖσαι τὰ ὁραθέντα· ὅσα γὰρ προγινώσκει συνοίσοντα τοῖς ἀνθρώποις πρὸς σωτηρίαν, τούτων τὴν φανέρωσιν τοῖς ἱερογράφοις ἐφίησι. Προσέτι τὸ σφράγισον σημαίνει τὸ ἐν τῇ διανοίᾳ κατάσχες καὶ τῇ μνήμῃ ἀσφάλισον.

5 Καὶ ὁ ἄγγελος ὃν εἶδον ἑστῶτα ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς, ἦρε τὴν χεῖρα αὐτοῦ εἰς τὸν οὐρανόν.

6 Καὶ ὤμωσεν ἐν τῷ ζῶντι εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὰ ἐν αὐτῷ, καὶ τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ τὴν θάλασσαν καὶ τὰ ἐν αὐτῇ, ὅτι χρόνος οὐκ ἔσται ἔτι.

7 Αλλὰ ἐν ταῖς ἡμέραις τῆς φωνῆς τοῦ ἑβδόμου ἀγγέλου, ὅταν μέλλῃ σαλπίζειν, καὶ τελεσθῇ τὸ μυστήριον τοῦ Θεοῦ, ὡς εὐηγγέλισε τοῖς ἑαυτοῦ δούλοις τοῖς Προφήταις.

Η χεὶρ ὄργανόν ἐστι πράξεως· τὸ οὖν ἆραι τὴν χεῖρα τὸν ἄγγελον εἰς τὸν οὐρανὸν, τουτέστι πρὸς τὸ ὕψος, σημαίνει ὅτι τὰ ἀφ᾽ ὕψους λαληθέντα ἀναγκαίως τελεσθήσονται διὰ πράξεως. Τὸ δὲ ὁμῶσαι, σημαίνει τὸ ἀπαραίτητον τῆς τελειώσεως· ἔχει

δὲ καὶ βεβαίωσιν τῶν πραγμάτων πρὸς τοὺς ἀπίστους, ὅτι μετὰ τὸ σαλπίσαι τὸν ἕβδομον ἄγγελον, ἔσται ἡ συντέλεια τοῦ αἰῶνος, καὶ ἡ ἑκάστου τῶν ἀνθρώπων κατὰ τὰ ἔργα αὐτοῦ ἀμοιβὴ, ὡς εὐηγγέλισται τοῖς ἁγίοις Προφήταις, καὶ οὐκ ἔτι ἔσται χρόνος· τὸν γὰρ χρόνον μετρεῖ ὁ ἥλιος, ταῖς ἀνατολαῖς καὶ ταῖς δύσεσιν αὐτοῦ τὰς ἡμέρας καὶ τὰς νύκτας ποιούμενος· ἀφαιρεθείσης δὲ τῆς χρείας τοῦ ἡλίου, οὐκ ἔτι ἔσται χρόνος μετρούμενος ὑπ' αὐτοῦ, ἀλλ' οἱ μὲν δίκαιοι ἔσονται φωτὶ θείῳ καταλαμπόμενοι, καὶ οὐκ ἐκλείψει αὐτοῖς ἡ ἡμέρα ἄδυτος καὶ ἀνέσπερος οὖσα, τοῖς δὲ ἁμαρτωλοῖς νὺξ ἀφεγγὴς, οὐδέποτε φωτιζομένη.

8 **Κ**αὶ ἡ φωνὴ ἣν ἤκουσα ἐκ τοῦ οὐρανοῦ, πάλιν λαλοῦσα μετ' ἐμοῦ καὶ λέγουσα· ὕπαγε, λάβε τὸ βιβλιαρίδιον τὸ ἀνεῳγμένον ἐν τῇ χειρὶ τοῦ ἀγγέλου, τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς.

9 **Κ**αὶ ἀπῆλθον πρὸς τὸν ἄγγελον, λέγων αὐτῷ· Δός μοι τὸ βιβλιαρίδιον· καὶ λέγει μοι· Λάβε, καὶ κατάφαγε αὐτὸ, καὶ πικρανεῖ σου τὴν κοιλίαν, ἀλλ' ἐν τῷ στόματί σου ἔσται γλυκὺ ὡς μέλι.

10 **Κ**αὶ ἔλαβον τὸ βιβλιαρίδιον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου, καὶ κατέφαγον αὐτὸ, καὶ ἦν ἐν τῷ στόματί μου ὡς μέλι γλυκύ· καὶ ὅτε ἔφαγον αὐτὸ ἐπικράνθη ἡ κοιλία μου.

11 **Κ**αὶ λέγει μοι· Δεῖ σε πάλιν προφητεῦσαι

ἐπὶ λαοῖς, καὶ ἔθνεσι, καὶ γλώσσαις, καὶ βασιλεῦσι πολλοῖς.

Η φωνὴ, ἣν ἤκουσεν ὁ ἅγιος, ἣν φωνὴ ἀγγέλου ὑπερτέρας τάξεως· τὸ δὲ λαβεῖν τὸ βιβλιαρίδιον ἐκ τῆς χειρὸς τοῦ ἀγγέλου τοῦ ἑστῶτος ἐπὶ τῆς θαλάσσης καὶ ἐπὶ τῆς γῆς, καὶ καταφαγεῖν αὐτὸ, σημαίνει τὸ ἀποκαλυφθῆναι, καὶ τὴν γνῶσιν ἐμφορτωθῆναι ἁπάντων τῶν ἐν αὐτῷ κεκρυμμένων μυστηρίων. Τὸ δὲ γενέσθαι ἐν μὲν τῷ στόματι αὐτοῦ ὡς μέλι γλυκὺ, ἐν δὲ τῇ κοιλίᾳ πικρὸν, δηλοῖ, ὅτι πρότερον μὲν ἐν τῷ μυεῖσθαι τὴν γνῶσιν τῶν θείων μυστηρίων, καὶ τὴν ἀποκάλυψιν τῶν ἐν ἐσχάτοις ἐσομένων πραγμάτων ηὐφράνθη καὶ ἠγαλλιάσατο καὶ ἡδύνθη ὁ νοητὸς αὐτοῦ φάρυγξ, ὡς ἀπὸ μέλιτος καὶ κηρίου· ὕστερον δὲ, μετὰ τὸ γενέσθαι ταῦτα ἐν τῇ κοιλίᾳ τῆς γνώσεως αὐτοῦ, μαθόντος καὶ κατανοήσαντος τὰ δεινὰ κολαστήρια, τὰ τοῖς ἁμαρτωλοῖς ἐπικείμενα, οἰκτείρας καὶ ἐλεήσας τὸ ὁμογενὲς ἐλυπήθη καὶ ἐπικράνθη. Τὸ δὲ εἰπεῖν τὸν ἄγγελον πρὸς αὐτὸν, δεῖ σε πάλιν προφητεῦσαι ἐπὶ λαοῖς καὶ ἔθνεσι καὶ λοιπὰ, βεβαιοῖ τὸ παρ' ἡμῖν τοῖς Γραικοῖς δόγμα περὶ τούτου τοῦ ἁγίου καὶ ἐνδόξου Εὐαγγελιστοῦ Ἰωάννου, ὅτι οὐκ ἀπέθανε θάνατον κατὰ διάζευξιν ψυχῆς ἐκ τοῦ σώματος, ἀλλὰ μετέστη ἐν χώρῳ, ὃν εἶδε μόνος ὁ Κύριος, καὶ ζῇ ὡς καὶ Ἠλίας, ἵνα πάλιν ἔλθῃ ἐπὶ τοῦ ἀντιχρίστου μετὰ τοῦ Ἠλιοῦ καὶ Ἐνὼχ, καὶ διδάξῃ τοὺς ἀνθρώπους ἃ ἐκελεύσθη σφραγῖσαι μέχρι τοῦ τηνικαῦτα καιροῦ· τῷ γὰρ γένει τῶν ἀνθρώπων τρεῖς νόμȣς δέδωκεν ὁ Θεὸς, τὸν φυσικὸν λέγω, ὃν ἐνομοθέτησεν ὁ Θεὸς τῷ Ἀδὰμ ἐν τῷ παραδείσῳ, καὶ αὐτοδίδακτον τῇ ἡμῶν ἑκάστου ἐνεκόλαψε φύσει, καὶ τὸν γραπτὸν, ὃν διὰ τοῦ Μωϋσέως δέδωκε τοῖς Ἰσραηλίταις ἐν τῷ Σινᾷ, καὶ τὸν εὐαγγελικὸν, ὃν διὰ τῶν ἁγίων Ἀποστόλων παρέδωκεν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν Ἱερȣσαλὴμ. Δεῖ οὖν ἐν ἐσχάτοις καιροῖς

παραγενέσθαι καὶ μάρτυρας τούτων· ὅθεν τοῦ μὲν φυσικοῦ, ἐλεύσεται ὁ Ἐνὼχ, τοῦ δὲ Μωσαϊκοῦ, ὁ Ἠλίας, τοῦ δὲ εὐαγγελικοῦ, ὁ παρὼν Εὐαγγελιστὴς, ὅστις καὶ συναποκτανθήσεται τῷ Ἐνὼχ καὶ τῷ Ἠλίᾳ ἐπὶ ἀντιχρίστου· εἴρηται γὰρ αὐτῷ καὶ τῷ ὁμαίμονι αὐτοῦ Ἰακώβῳ παρὰ τοῦ Κυρίου· «Τὸ ποτήριον ὃ ἐγὼ πίνω πίεσθε, καὶ τὸ βάπτισμα, ὃ ἐγὼ βαπτίζομαι, βαπτισθήσεσθε»(1)· δηλοῦντος τὸν διὰ μαρτυρίου θάνατον· καὶ ὁ μὲν Ἰάκωβος ὑπὸ Ἡρώδου ἀνῃρέθη, καὶ ἔπιε τὸ ποτήριον τοῦ Χριστοῦ, καὶ ἐβαπτίσθη κατὰ τὸν θάνατον αὐτοῦ· ὁ δὲ Ἰωάννης οὔπω τοῦ τοιούτου τετύχηκε τέλους. Εἰκότως οὖν λέγομεν, ὅτι ἀποκτανθήσεται ἐπὶ ἀντιχρίστου, καὶ ἀμφοτέροις πληρωθήσεται τὸ τοῦ Κυρίου λόγιον.

## ΚΕΦΑΛΑΙΟΝ ΙΑ΄.

1 Καὶ ἐδόθη μοι κάλαμος ὅμοιος ῥάβδῳ, καὶ ὁ ἄγγελος εἱστήκει λέγων· Ἔγειραι, καὶ μέτρησον τὸν ναὸν τοῦ Θεοῦ, καὶ τὸ θυσιαστήριον, καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ.

2 Καὶ τὴν αὐλὴν τὴν ἔσωθεν τοῦ ναοῦ ἔκβαλε ἔξω, καὶ μὴ αὐτὴν μετρήσῃς, ὅτι ἐδόθη τοῖς ἔθνεσι· καὶ τὴν πόλιν τὴν ἁγίαν πατήσουσι μῆνας τεσσαράκοντα δύο.

Ὁ ναὸς ὁ πρῶτον μὲν παρὰ τοῦ Σολομῶντος οἰκοδομη-

(1) Μαρκ. ί, 39.

θεὶς, ἐπὶ δὲ Κύρου ἀνακτισθεὶς διῄρητο εἰς τρεῖς χώρας. Καὶ ἐν μὲν τῷ ἐνδοτέρῳ εἰσήρχοντο οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων, καὶ οἱ ἱερεῖς αὐτῶν τὰς θυσίας προσφέροντες, τοῖς δὲ λοιποῖς Ἑβραίοις ἄβατον ὑπῆρχε καὶ ἄδυτον, ὅπερ καὶ θυσιαστήριον ἐκάλουν· τὸ δὲ δεύτερον τοῖς μὲν Ἑβραίοις ἱερεῦσί τε καὶ λαϊκοῖς βατὸν ἦν, τοῖς δὲ ἑτεροθρήσκοις ἄβατον καὶ ἄδυτον ὑπῆρχεν, ὅπερ καὶ ναὸς ἐλέγετο· Ἦσαν δὲ οἱ δύο οὗτοι χῶροι περιωρισμένοι τείχεσιν, ἡ δὲ ἔξωθεν τοῦ ναοῦ αὐλὴ ἦν πλατεῖα καὶ εὐρύχωρος, καὶ τείχεσιν ἀπερίκλειστος, ἐν ᾗ εἰσήρχοντο Ἰουδαῖοί τε καὶ ἐθνικοί. Ὁ μὲν οὖν ναὸς καὶ τὸ θυσιαστήριον, τὰ περιτετειχισμένα καὶ μόνοις τοῖς Ἰουδαίοις βάσιμα εἰκόνιζον τὴν παλαιὰν Διαθήκην, ἥτις τηνικαῦτα περιώριζεν αὐτοὺς νόμοις καὶ ἐθίμοις, τοῖς Ἰουδαίοις μόνον πρὸς καιρὸν ἀφωρισμένοις, τοῖς δὲ λοιποῖς ὑπάρχουσιν ἀκοινωνήτοις· ταῦτα δὲ ἦν, ἡ περιτομὴ, ἡ ἀργία τοῦ σαββάτου, τὸ πάσχα τῶν ἀζύμων, αἱ ζωοθυσίαι, οἱ ῥαντισμοὶ καὶ τὰ τοιαῦτα. Ἡ δὲ αὐλὴ ἀπεριτείχιστος ὑπάρχουσα, Ἰουδαίοις τε καὶ ἐθνικοῖς βάσιμος, προετύπου τὴν νέαν Διαθήκην, καὶ τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, ἣν οὐ περιφράττει τὰ τῶν Ἑβραίων ἔθιμα, καὶ τὰ νομικὰ παρατηρήματα, ἅτινα τότε οἰκονομικῶς τούτοις νενομοθέτηται. Εἰς ταύτην οὖν τὴν αὐλὴν, τουτέστι τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, συνεισάγονται οἵ τε ἐξ Ἰουδαίων καὶ οἱ ἐκ διαφόρων ἐθνῶν· ὅθεν καὶ Ἐκκλησία προσαγορεύεται, ὡς ἐκκλησιάζουσα καὶ συνάγουσα εἰς ἓν τοὺς ἀπ᾽ ἀλλήλων πολὺ διεστῶτας, καὶ τούτοις ἐναργῶς ἀνακαλύπτουσα τῇ ἐπιφαύσει τοῦ νοητοῦ ἡλίου τὰ τότε τυπικῶς σκιαγραφούμενα. Τὴν οὖν γνῶσιν καὶ σαφήνειαν τῶν συμβολικῶς σημαινομένων, τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου τῶν περιτετειχισμένων, ταύτην ὡς κάλαμον ἑώρακε γεωμετρικὸν, καὶ διδακτικὸν τοῦ συνεχοῦς ποσοῦ, δοθεῖσαν αὐτῷ κελεύσματι δεσποτικῷ ὑπὸ τοῦ ἀγγέλου, (οἱ γὰρ ἄγγελοι μυοῦσι τοὺς ἁγίους τὰ παρὰ Θεοῦ αὐτοῖς μυσταγωγούμενα) καὶ ὡς ῥάβδον ἐπιστηρίζουσαν τὴν τῶν θείων κατανόησιν· ὁ δὲ κάλαμος

ὅτι ἐστὶ μύησις τῶν ἀκαταλήπτων τοῦ Θεοῦ μυστηρίων, σαφῶς δεδήλωκεν ὁ ψαλμῳδὸς εἰπών· «Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου, καὶ τὰ λοιπά» (1). Δοθέντος τοιγαροῦν τοῦ καλάμου τῷ παρόντι Εὐαγγελιστῇ ἐπέτρεψεν ὁ ἄγγελος μετρῆσαι τὸν ναὸν καὶ τὸ θυσιαςήριον, καὶ τοὺς προσκυνοῦντας ἐν αὐτῷ, δεικνὺς διὰ τούτου, ὅτι οἱ ἐν τῇ νομικῇ λατρείᾳ τῷ Θεῷ εὐαρεστήσαντες, εὐάριθμοί εἰσι· τὴν δὲ αὐλὴν ἔξω τιθέναι μέτρϐ· πολλοὶ γὰρ οἱ ἐν τῷ εὐαγγελικῷ νόμῳ ἅγιοι, καὶ ἀριθμῷ ἀπερίληπτοι. Οὗτοι καὶ πόλεις Θεοῦ εἰσιν· ἐν αὐτοῖς γὰρ ὡς οἰκείοις ἐμφιλοχωρεῖ ὁ Θεός· ἀλλὰ καὶ αὐτϐς συγχωρήσει θείᾳ πατήσϐσι καὶ θλίψουσιν οἱ ἀσεβεῖς ἐν τῷ καιρῷ τοῦ ἀντιχρίστου μῆνας τεσσαράκοντα δύο, ἤτοι χρόνους τρισήμισυν, ὅσον κᾀυτὸς ὁ Ἰησοῦς διέτριψεν εἰς Αἴγυπτον, φυγὼν τὸν Ἡρώδην, καὶ οὐ πλεῖον· εἰ γὰρ μὴ ἐκολόβωσεν ὁ Θεὸς ἐκείνας τὰς ἡμέρας, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ, διὰ δὲ τοὺς ἐκλεκτοὺς, οὓς ἐξελέξατο, κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι, ὡς εἴρηκεν ὁ Κύριος (2).

3 Καὶ δώσω τοῖς δυσὶ μάρτυσί μου, καὶ προφητεύσουσιν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα, περιβεβλημένοι σάκκους.

4 Οὗτοί εἰσιν αἱ δύο ἐλαῖαι καὶ δύο λυχνίαι, αἱ ἐνώπιον τοῦ Θεου τῆς γῆς ἑστῶσαι.

5 Καὶ εἴτις θέλει αὐτοὺς ἀδικῆσαι, πῦρ ἐκπορεύεται ἐκ τοῦ στόματος αὐτῶν, καὶ κατεσθίει τοὺς ἐχθροὺς αὐτῶν· καὶ εἴ τις θέλει αὐτοὺς ἀδικῆσαι, οὕτω δεῖ αὐτὸν ἀποκτανθῆναι.

(1) Ψαλμ. μδ', 2. (2) Ματθ. κδ', 22.

6 Οὗτοι ἔχουσιν ἐξουσίαν κλεῖσαι τὸν οὐρανὸν, ἵνα μὴ βρέχῃ ἐν ἡμέραις τῆς αὐτῶν προφητείας· καὶ ἐξουσίαν ἔχουσιν ἐπὶ τῶν ὑδάτων, στρέφειν αὐτὰ εἰς αἷμα, καὶ πατάξαι τὴν γῆν πάσῃ πληγῇ, ὁσάκις ἐὰν θελήσωσιν.

Εἷς τῶν μαρτυρησόντων ἐν ταῖς ἐσχάταις ἡμέραις ἐπὶ τοῦ ἀντιχρίστου ἐστὶν Ἠλίας ὁ Προφήτης, κατὰ τὸν λόγον τοῦ Κυρίου διὰ Μαλαχίου τοῦ Προφήτου· «Ἰδοὺ ἐγὼ ἀποστελῶ Ἠλίαν τὸν Θεσβίτην, πρὶν ἢ ἔλθῃ ἡ ἡμέρα Κυρίου ἡ μεγάλη καὶ ἐπιφανὴς, ὃς ἀποκαταστήσει καρδίαν πατρὸς πρὸς υἱὸν, καὶ καρδίαν ἀνθρώπου πρὸς τὸν πλησίον αὐτοῦ» (1). Δεύτερος δὲ ὁ Ἐνὼχ, ὃς καὶ μετέστη κατὰ τὴν μετάστασιν Ἠλιοῦ· διὸ καὶ ἡ τούτου προσδοκᾶται ἄφιξις. Οὗτοι οὖν μέλλουσιν ἐλθεῖν διδάξαι τοὺς τότε ἀνθρώπους, ὅτι ὁ ἀντίχριστος οὐκ ἔστιν ὁ Χριστὸς, ἀλλὰ πλάνος καὶ ἀπατεὼν καὶ ἀπωλείας πρόξενος· καὶ ὅτι τὰ τούτου τερατουργήματα μαγικὰ καὶ τοῦ κακοτέχνου διαβόλου φαντάσματα, καὶ ὅτι Ἰησοῦς ὁ Χριστὸς, ὁ Υἱὸς τοῦ Θεοῦ ὡς ἔγγιστα ποιήσεται τὴν παρουσίαν αὐτοῦ, ἵνα κρίνῃ ζῶντας καὶ νεκρούς. Ταῦτα δὲ διδάξουσιν ἐν ἡμέραις χιλίαις διακοσίαις ἑξήκοντα, τουτέστιν ἐν τρισήμισυ χρόνοις, ἐν ὅσοις ἔσεται καὶ ἡ τυραννὶς τοῦ ἀντιχρίστȣ. Ἐνδεδυμένους δὲ σάκκους εἴρηκεν, ὅπερ δηλοῖ, ὅτι ἐν ταπεινώσει καὶ θλίψει διανύσουσι τὰς ἡμέρας τῆς προφητείας αὐτῶν καὶ ἐν πένθει ἐπὶ τῇ τῶν ἀπατηθησομένων ἀπωλείᾳ. Τούτους προεώρακεν ἐν πνεύματι καὶ Ζαχαρίας, ὡς δύο ἐλαίας καὶ δύο λυχνίας ἐν τῷ οἴκῳ τοῦ Θεοῦ (2)· ἐλαίας μὲν, ὡς δι' ἀγαθότητα τοῦ ἐλεήμονος Θεοῦ ἀποσταλησομένους· λυχνίας δὲ, ὡς διὰ καθαρότητα καὶ ἀγαθοεργίας ὀχήματα γε-

(1) Μαλαχ. δ', 4. (2) Ζαχαρ. δ', 3.

γονότας τοῦ ἐν αὐτοῖς σκηνώσαντος θείου φωτὸς, φωτίζοντος τοὺς ἐν εὐπειθείᾳ τούτοις πλησιάζοντας, καὶ τὸν φωτιστικὸν αὐτῶν λόγον ἐμπράκτως δεχομένους. Ἑστῶτας δὲ ἐνώπιον τοῦ Θεοῦ τῆς γῆς τούτους λέγει, ἅτε δὴ παραγενομένους δηλαδὴ ἐγγὺς τῆς δευτέρας τοῦ Κυρίου ἐπὶ γῆς παρουσίας. Ἑαυτὸν δὲ ὁ Εὐαγγελιστὴς οὗτος οὐ συνάγει τούτοις, ὥσπερ καὶ ἐν τῷ ὑπ' αὐτοῦ γραφέντι Εὐαγγελίῳ οὐκ ὀνομάζει ἑαυτὸν, ἀλλὰ λέγει, ὁ δὲ ἄλλος μαθητής. Τούτους δὲ τοὺς ἐλευσομένους μάρτυρας, καθώπλισεν ὁ Κύριος δυνάμεσιν ἀληθέσι καὶ σημείοις, δωρησάμενος αὐτοῖς καὶ ἐξουσίαν πρὸς τὸ ἀμύνασθαι, καὶ εἰσπράξασθαι δίκας τοὺς ἀντικειμένους, ἀνομβρίᾳ τε καὶ τροπῇ τῶν ὑδάτων εἰς αἷμα, καὶ ἑτέραις πληγαῖς, οἵαις καὶ τοὺς Αἰγυπτίους τὸ πάλαι, ἵνα ἐπιστρέψωσι τοὺς ἁμαρτωλοὺς εἰς μετάνοιαν, καὶ ὁ λόγος αὐτῶν, ὡς πῦρ ἐξελεύσεται ἐκ τοῦ στόματος αὐτῶν, τοὺς μὲν φωτίζον, τοὺς δὲ καταφλέγον, καὶ καταργήσουσι τὴν ἀπάτην καὶ τὸν δόλον τοῦ κακομηχάνου ἐν ταῖς ἡμέραις τῆς προφητείας αὐτῶν.

7 **Κ**αὶ ὅταν τελέσωσι τὴν μαρτυρίαν αὐτῶν, τὸ
θηρίον τὸ ἀναβαῖνον ἐκ τῆς ἀβύσσου ποιήσει πόλεμον μετ' αὐτῶν, καὶ νικήσει αὐτοὺς, καὶ ἀποκτενεῖ αὐτούς.

8 **Κ**αὶ τὰ πτώματα αὐτῶν, ἐπὶ τῆς πλατείας πό-
λεως τῆς μεγάλης, ἥτις καλεῖται πνευματικῶς Σόδομα καὶ Αἴγυπτος, ὅπου καὶ ὁ Κύριος ἡμῶν ἐσταυρώθη.

9 **Κ**αὶ βλέψουσιν ἐκ τῶν λαῶν καὶ φυλῶν καὶ
γλωσσῶν καὶ ἐθνῶν τὰ πτώματα αὐτῶν ἡμέρας

τρεῖς καὶ ἥμισυ· καὶ τὰ πτώματα αὐτῶν οὐκ ἀφήσουσι τεθῆναι εἰς μνήματα.

10 Καὶ οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς χαρήσονται ἐπ' αὐτοῖς καὶ εὐφρανθήσονται, καὶ δῶρα πέμψουσιν ἀλλήλοις, ὅτι οὗτοι οἱ δύο Προφῆται ἐβασάνισαν τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς.

Ἄβυσσον νοητέον τὸν παρόντα κόσμον, ἐν σκότει ὄντα τῆς ἀγνωσίας βεβυθισμένον, ῥευστόν τε, ἁλίπικρον, καὶ ὀλισθηρὸν, καὶ καταῤῥόοις ὀρέξεσιν ὑποβρύχιον, καὶ κύμασι μεριμνῶν ὑπεραντλούμενόν τε καὶ κλυδωνιζόμενον, καὶ ἀντιπνοίαις περιστάσεων ἀντιῤῥιπιζόμενόν τε καὶ χειμαζόμενον. Ἐκ ταύτης οὖν τῆς ἀβύσσου ἀναβήσεται ὁ ἀντίχριστος, γεγεννημένος μὲν ἄνθρωπος ἐκ τῆς φυλῆς τοῦ Δὰν, ἑνὸς τῶν τοῦ πατριάρχου Ἰακὼβ υἱέων· θηρίον δὲ οὐ τῷ εἴδει, ἀλλὰ τῷ τρόπῳ καὶ τῇ διαθέσει, ἀγριωπῶς τε καὶ θηριωδῶς κινούμενον κατὰ τῶν ἁγίων. Αὐτὸς τοιγαροῦν ὁ ἀντίχριστος πολεμήσει καὶ τοῖς μέλλουσι προκηρύξαι τὴν τοῦ Σωτῆρος δευτέραν παρουσίαν, καὶ νικήσει αὐτοὺς δυνάμει κοσμικῇ, καὶ ἀποκτενεῖ αὐτοὺς, ὡς καὶ οἱ πρόδρομοι αὐτοῦ ἀποκτείνουσι τοὺς πιστοὺς, συγχωροῦντος τοῦ Θεοῦ· ἵνα οὗτοι μὲν ἐν τῇ κρίσει ἀναπολόγητοι μείνωσιν, ἐκεῖνοι δὲ μείζονα τὸν στέφανον τῆς δόξης λάβωσι, μιμηταὶ τοῦ Κυρίου γενόμενοι, διὰ μαρτυρίου τελειωθέντες. Τούτων τῶν προκηρυξόντων τὴν τοῦ δικαίου Κριτοῦ παρουσίαν τὰ σώματα μετὰ τὸ ἀποκτανθῆναι, μενοῦσιν ἄταφα τρεῖς καὶ ἥμυσιν ἡμέρας, κατ' ἀριθμὸν τῶν χρόνων τῆς αὐτῶν προφητείας, κείμενα ἐν τῇ ἐπαύλει τῆς Ἱερουσαλήμ. Τὸ δὲ μεῖναι τὰ σώματα αὐτῶν ἄταφα, κείμενα ἐν τῇ ἐπαύλει τῆς πόλεως, τὸ μέν ἐστι τῆς τοῦ Θεοῦ οἰκονομίας, ἵνα παραμυθίας καρπώσωνται οἱ διὰ Χριστὸν κακουχούμενοι, ὁ-

ρῶντες τοιούτους ἁγίους Προφήτας, παρὰ μὲν ἀνθρώπων οὕτω θανατουμένους τε καὶ ἀτιμαζομένους δι' ἀγάπην Θεοῦ, παρὰ δὲ τοῦ μισθαποδότου δοξαζομένους, καὶ Πνεῦμα Θεοῦ εἰσδεχομένους, καὶ εἰς οὐρανὸν ἀναλαμβανομένους· τὸ δέ ἐστι τῆς κακίας τῶν ἀσεβῶν ἔνδειξις, ἵνα πολλοὶ ἰδόντες ἐν τοσαύτῃ ἀτιμίᾳ τοὺς ἐν ὑπολήψει καὶ δόξῃ ὄντας σκανδαλισθῶσιν ἐπὶ τῇ πρὸς Θεὸν πίστει. Ἔτι δὲ διὰ τούτου δείκνυται, καὶ τὸ ἄσπονδον τῶν κακεντρεχῶν πρὸς τοὺς πιστούς, καὶ ὅτι καὶ μετὰ θάνατον οὐκ ἐλεοῦσιν αὐτούς. Ἡ δὲ Ἱερουσαλὴμ ἁγία μὲν πόλις ἐστί, διότι κατὰ τὸν Ἡσαΐαν ἐκοιμήθη ἐν αὐτῇ εἰρήνη, ἤτοι ὁ τῆς παγκοσμίου εἰρήνης βραβευτὴς Χριστὸς ὁ Θεός· ἐν δὲ ἐσχάτῳ καιρῷ, διὰ τὰς ἀσελγείας τοῦ ἀντιχρίστου μιμήσεται τὰ Σόδομα, καὶ διὰ τὰς καταδυναστείας τῶν ὀπαδῶν αὐτοῦ, τὴν Αἴγυπτον. Προσέτι Ἱερουσαλὴμ νοητέον καὶ τὴν συναγωγὴν τῶν Ἰουδαίων, ἐξ ὧν καὶ ἐν οἷς βασιλεύσει ὁ ἀντίχριστος, καὶ προσδέξονται αὐτόν, ὡς προείρηκεν ὁ Κύριος· Ἐγὼ μὲν ἦλθον ἐν τῷ ὀνόματι τοῦ Πατρός μου, καὶ οὐ δέχεσθέ με, ἄλλος δὲ ἐλεύσεται ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, (τουτέστι Χριςὸν ὀνομάσει ἑαυτὸν) ἐκεῖνον δέξεσθε(1). Οὗτοι καὶ χαρήσονται ἐπὶ τῇ ἀναιρέσει τῶν ἁγίων Προφητῶν καὶ δώροις φιλοτιμήσουσιν ἀλλήλους ὡς ἐν ἑορτῇ, διὰ τὸ μισεῖν τοὺς νουθετοῦντας ἀπέχεσθαι ἀπὸ τῶν πονηριῶν, ὡς οἱ Σοδομῖται ἐμίσησαν τὸν δίκαιον Λὼτ παραινοῦντα· καὶ ἀπεχθήσονται τοῖς τὸν ἀληθινὸν Χριστὸν διαμαρτυρουμένοις, ὡς οἱ Αἰγύπτιοι τὸν Μωϋσῆν καὶ τὸν Ἀαρών, ἀπαγγέλλοντας τὰ παρὰ Θεοῦ ἐντελλόμενα.

11 Καὶ μετὰ τρεῖς ἡμέρας καὶ ἥμισυ, πνεῦμα ζωῆς ἐκ Θεοῦ εἰσῆλθεν ἐπ' αὐτούς, καὶ ἔστησαν ἐπὶ τοὺς πόδας αὐτῶν, καὶ φόβος μέγας ἔπεσεν ἐπὶ τοὺς θεωροῦντας αὐτούς.

(1) Ἰωαν. ε΄, 43.

12 Καὶ ἤκουσα φωνὴν μεγάλην ἐκ τοῦ οὐρανοῦ λέγουσαν αὐτοῖς· Ἀνάβητε ὧδε· καὶ ἀνέβησαν εἰς τὸν οὐρανὸν ἐν τῇ νεφέλῃ, καὶ ἐθεώρησαν αὐτοὺς οἱ ἐχθροὶ αὐτῶν.

Περὶ νεφέλης λέγομεν, ὅτι ὁ ἥλιος τῇ θερμότητι αὐτοῦ ἀνάγει ἀπὸ τῆς γῆς εἰς τὸ μετέωρον τὰς λεπτὰς καὶ εὐκινήτους ἰκμάδας, ἐξ ὧν συνίσταται ἐν τῷ ἀέρι νέφος ἔνυγρον, καὶ τοῦτο πιεζόμενον ὑπὸ τοῦ ἀέρος προΐεται ἐπὶ γῆς τὰς ψεκάδας τῆς βροχῆς, ὧν τῆς καταρροῆς γενομένης ἀραιοῦται ἡ τοῦ νέφους πυκνότης, καὶ γίνεται δεκτικὸν τοῦ φωτὸς τοῦ ἡλιακοῦ· καὶ ἔστι μὲν ὡς φωτεινὸν διὰ τὴν εἰσδοχὴν τοῦ φωτὸς, ἔστι δὲ καὶ μελανίζον καὶ σκιερὸν διὰ τὴν ἐναπομείνασαν γεώδη οὐσίαν, καὶ τότε ὀνομάζεται νεφέλη. Ταύτῃ δὲ τῇ νεφέλῃ παρεικάζονται αἱ τοῦ Θεοῦ δηλώσεις, ἀποκαλυπτόμεναι μὲν τοῖς ἀξίοις διὰ τὴν ἀπόθεσιν τοῦ σκοτεινοῦ γεώδους, καὶ διὰ τὴν τοῦ Θεοῦ ἀγαθότητα· συσκιαζόμεναι δὲ, καὶ οὐχ ὁλολαμπεῖς διὰ τὴν γεώδη, ἣν περίκεινται οὐσίαν· καὶ τοῦτο σημαίνει τὸ ὑπὸ τοῦ ψαλμῳδοῦ εἰρημένον· «Νεφέλη καὶ γνόφος κύκλω αὐτοῦ, καὶ σκοτεινὸν ὕδωρ ἐν νεφέλαις» (1). Ὅθεν καὶ ἐν πολλοῖς εὕρηται ἡ νεφέλη τοῖς θείοις ὑπουργοῦσα. Ὥσπερ οὖν νεφέλη ὑπέλαβε τὸν Κύριον εἰς οὐρανοὺς ἀναλαμβανόμενον, δηλοῦσα τότε φωτεινὸν τῆς θεότητος, καὶ τὸ γεῶδες ὅθεν ἀνελήφθη, οὕτω καὶ ὧδε, νεφέλη ὦπται, τοὺς ἁγίους τούτους Προφήτας εἰς οὐρανὸν ἀναφέρουσα, μετὰ τὸ ζωοποιηθῆναι αὐτοὺς τῷ θείῳ Πνεύματι, κατὰ τὸ, «Ἐξαποστελεῖς τὸ Πνεῦμά σου, καὶ κτισθήσονται» (2). Ἐπειδὴ δὲ ὁ θεῖος Ἀπόστολος λέγει· «Ὅτι οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον, ἔπειτα οἱ ζῶντες οἱ περιλειπόμενοι» (3), διὰ τοῦτο ἐγὼ

(1) Ψαλμ. ϟϛʹ, 2. (2) Ψαλμ. ργʹ, 30. (3) Θεσ. δʹ, 16.

ὑπολαμβάνω, ὅτι ἡ ἀνάστασις τούτων, τῶν διὰ Χριστὸν νεκρωθέντων Προφητῶν, ἐστὶν ἡ τελευταία ἀνάζησις αὐτῶν, ἡ μὴ διακοπτομένη θανάτῳ, ἣν ἀναζήσωμεν πάντες οἱ ἄνθρωποι.

13 Καὶ ἐν ἐκείνῃ τῇ ὥρᾳ ἐγένετο σεισμὸς μέγας, καὶ τὸ δέκατον τῆς πόλεως ἔπεσε, καὶ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ ὀνόματα ἀνθρώπων χιλιάδες ἑπτά· καὶ οἱ λοιποὶ ἔμφοβοι ἐγένοντο, καὶ ἔδωκαν δόξαν τῷ Θεῷ τοῦ οὐρανοῦ.

14 Η οὐαὶ ἡ δευτέρα ἀπῆλθεν· ἰδοὺ ἡ οὐαὶ ἡ τρίτη ἔρχεται ταχύ.

15 Καὶ ὁ ἕβδομος ἄγγελος ἐσάλπισε, καὶ ἐγένοντο φωναὶ μεγάλαι ἐν τῷ οὐρανῷ λέγουσαι· Ἐγένοντο αἱ βασιλεῖαι τοῦ κόσμου τοῦ Κυρίου ἡμῶν, καὶ τοῦ Χριστοῦ αὐτοῦ, καὶ βασιλεύσει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ σεισμὸς ὁ μέγας σημαίνει τὴν τῶν πραγμάτων ὀθνείαν μετακίνησιν καὶ μεταβολήν· ἐπεὶ δὲ ἐν τῷ προλαβόντι πόλιν εἴπομεν εἶναι τὴν τῶν Ἑβραίων συναγωγὴν, ὅθεν ἐνταῦθα τῷ εἰπεῖν τὸν Εὐαγγελιστὴν, ὅτι τὸ δέκατον τῆς πόλεως ἔπεσε, καὶ ὅτι χιλιάδες ἑπτὰ ἀπεκτάνθησαν ἐν τῷ σεισμῷ, δηλοῦν οἶμαι τὴν ὀλιγότητα τῶν ἀπειθεισάντων, καὶ ἐν ἀμετανοησίᾳ ἀποκτανθέντων ὑπὸ τοῦ σεισμοῦ, παραβαλλομένην πρὸς τὸ πλῆθος τῶν ἐμφόβων γενομένων καὶ πιστευσάντων, καὶ διὰ τῆς πίστεως δοξασάντων τὸν Θεὸν τοῦ οὐρανοῦ· καθὰ καὶ εἴρηται περὶ τοῦ ἐπὶ τῷ σταυρῷ

θεασαμένω τὰ σημεῖα, καὶ πιστεύσαντος ἑκατοντάρχου, ὅτι ἐδόξαζε τὸν Θεόν. Ἐπὶ τοὺς μὴ πιστεύσαντας λοιπὸν ἐλεύσεται ἡ οὐαὶ ἡ τρίτη, ἣν ἀπαγγελεῖ ὁ ἕβδομος ἄγγελος, ἀπαγγελίαν περιηχοῦσαν τὰ ὦτα, ὡς φωνὴ σάλπιγγος, καὶ ὡς φωναὶ μεγάλαι τὰ ἀπειλούμενα τοῖς ἀπίστοις δεινὰ, αἱ βεβαιοῦσαι ὅτι αἱ βασιλεῖαι τοῦ κόσμου, αἱ ἀποστατοῦσαι μέχρι τοῦ νῦν ἀπὸ τοῦ Θεοῦ, νῦν γνώσονται βασιλέα ὑπεράνω αὐτῶν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, τὸν πρὸ πάντων αἰώνων καὶ εἰς τοὺς αἰῶνας βασιλεύοντα τῶν κτισμάτων σὺν Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι.

16 Καὶ οἱ εἰκοσιτέσσαρες πρεσβύτεροι, οἱ ἐνώπιον τοῦ Θεοῦ καθήμενοι ἐπὶ τοὺς θρόνους αὐτῶν, ἔπεσον ἐπὶ τὰ πρόσωπα αὐτῶν, καὶ προσεκύνησαν τῷ Θεῷ.

17 Λέγοντες· Εὐχαριστοῦμέν σοι Κύριε, ὁ Θεὸς ὁ παντοκράτωρ, ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ἐρχόμενος, ὅτι εἴληφας τὴν δύναμίν σου τὴν μεγάλην καὶ ἐβασίλευσας.

18 Καὶ τὰ ἔθνη ὠργίσθησαν, καὶ ἦλθεν ἡ ὀργή σου· καὶ ὁ καιρὸς τῶν νεκρῶν κριθῆναι, καὶ δοῦναι τὸν μισθὸν τοῖς δούλοις σου τοῖς προφήταις, καὶ τοῖς ἁγίοις καὶ τοῖς φοβουμένοις τὸ ὄνομά σου, τοῖς μικροῖς καὶ τοῖς μεγάλοις, καὶ διαφθεῖραι τοὺς διαφθείροντας τὴν γῆν.

Εἰκοσιτέσσαρες πρεσβύτεροι, ὡς προέφημεν, εἰσὶν οἱ ἐκ-

λεκτοὶ τοῦ Θεοῦ ἅγιοι, οἱ καταξιωθέντες ἀπολαῦσαι τῆς θεωρίας αὐτοῦ· διὸ καὶ λέγεται ἐνώπιον τοῦ Θεοῦ, οἵτινες καὶ καθήμενοι ἐπὶ τοὺς θρόνους αὐτῶν, εἰσὶν ἐστηριγμένοι δηλαδὴ καὶ ἱδρυμένοι ἐπὶ τῆς δόξης καὶ τιμῆς, ἧς αὐτοὶ κατέστησαν ἑαυτοῖς ταῖς ἐναρέτοις αὐτῶν πράξεσι. Προσκυνοῦσι δὲ καὶ δοξάζουσι τὸν Θεὸν, καὶ εὐχαριστοῦσιν αὐτῷ, ἐπί τε τῇ εἰς αὐτοὺς γενομένῃ εὐεργεσίᾳ, καὶ ἐπὶ τῇ τῶν ἁμαρτωλῶν τιμωρίᾳ. Καιρὸν δὲ τῶν νεκρῶν λέγει τὸν τῆς συντελείας, καὶ τῆς ἀναστάσεως καθ' ὃν ἀνταποδίδοται ἑκάστῳ κατὰ τὰς πράξεις αὐτοῦ. Ὥσπερ δὲ ἐν τῷ Εὐαγγελίῳ τοὺς καρποφοροῦντας διαιρεῖ εἰς τρεῖς τάξεις ὁ Χριστὸς, τοὺς μὲν εἰς ἑκατὸν, τοὺς δὲ εἰς ἑξήκοντα, τοὺς δὲ εἰς τριάκοντα, οὕτω κἀνταῦθα διαιρεῖ ὁ Εὐαγγελιστὴς τοὺς τὸν μισθὸν ληψομένους δούλους τοῦ Θεοῦ, οὓς πάντας συνελὼν λέγει, τοὺς μικροὺς καὶ τοὺς μεγάλους· καὶ τοὺς μὲν, λέγων Προφήτας, τοὺς δὲ ἁγίους, τοὺς δὲ φοβουμένους τὸ ὄνομα τοῦ Θεοῦ· μικροὺς μὲν ὀνομάζει τοὺς οὔπω εἰς τελειότητα ἀρετῆς φθάσαντας, τοὺς ἔτι φοβουμένους τὴν ὀργὴν τοῦ Θεοῦ, καὶ τὴν ἐκ ταύτης τιμωρίαν· μεγάλους δὲ, τοὺς εἰς τελειότητα ἀρετῆς ὡς ἐφικτὸν πεφθακότας, οἵτινες καὶ αὐτοὶ φοβοῦνται τὸν Θεὸν, ἵνα μὴ ἐκπέσωσι τῆς ἀγάπης αὐτοῦ. Διαφθείροντες δὲ τὴν γῆν εἰσιν οἱ ἁμαρτωλοὶ, οἱ τῇ ἐκχύσει τῶν ἀθῴων αἱμάτων ταύτην χραίνοντες, καὶ ταῖς βεβήλοις αὐτῶν πράξεσι καταμιαίνοντες, οὓς διαφθερεῖ ἡ ὀργὴ τοῦ Θεοῦ, οὐκ εἰς τὸ μὴ εἶναι χωρήσοντας, ἀλλ' εἰς τὸ διαμένειν αἰωνίως ἐν τῇ γεέννῃ.

91 Καὶ ἠνοίγη ὁ ναὸς τοῦ Θεοῦ ἐν τῷ οὐρανῷ, καὶ ὤφθη ἡ κιβωτὸς τῆς διαθήκης αὐτοῦ ἐν τῷ ναῷ αὐτοῦ· καὶ ἐγένοντο ἀστραπαὶ καὶ φωναὶ καὶ βρονταὶ, καὶ σεισμὸς καὶ χάλαζα μεγάλη.

Ο ναὸς τοῦ Θεοῦ ἐν τῷ οὐρανῷ ἐστιν ἡ γνῶσις τῶν οὐ-

ρανίων και ὑψηλῶν νοημάτων, τῶν ὑπὲρ ἔννοιαν ἀνθρωπίνην, ἐν ῇ κέκρυπται καὶ τεθησαύρισται τὰ ἀποκείμενα τοῖς δικαίοις ἀγαθὰ, ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, κατὰ τὸν θεῖον Ἀπόστολον. Αὕτη δὲ καὶ τῇ κιβωτῷ τοῦ Θεοῦ παρεικάσθη· γέγραπται γὰρ, ὅτι ὁ Θεὸς εἴρηκε τῷ Μωϋσῇ· «Ὅρα τοῦ ποιῆσαι πάντα κατὰ τὸν τύπον τὸν ὀφθέντα σοι ἐν τῷ ὄρει» (1). Κατὰ τοῦτο οὖν ἡ τότε γενομένη κιβωτὸς τύπος ὑπῆρχε τῆς ἀληθείας, καὶ οὐκ αὐτὴ ἡ ἀλήθεια. Ὡσαύτως λοιπὸν καὶ ἡ νόησις τῶν ἀγαθῶν τῆς διαθήκης Κυρίε, ἃ ἐπηγγείλατο δηλαδὴ ὁ Κύριος τοῖς δικαίοις, ἐν μὲν τῷ παρόντι βίῳ ἐν τύποις καὶ συμβόλοις νοεῖται, οὐκ ἐμφανῶς καὶ ἐναργῶς. τὲς γὰρ ὀφθαλμοὺς τῆς ψυχῆς κατακαλύπτει ἡ τοῦ σώματος παχύτης, καὶ οὐκ ἐᾷ ἐναργῶς θεάσασθαι τὰ οὐράνια· ἐν δὲ τῇ μελλούσῃ ζωῇ ἀνοιγήσεται ὁ ναὸς τοῦ Θεοῦ ἐν τῷ οὐρανῷ, τουτέστιν ἀποκαλυφθήσεται τῷ νοΐ, καὶ γνωθήσεται ἡ γνῶσις ἡ ἐν τοῖς ἐπεραvίοις ὑπάρχουσα, καὶ ὄψονται ἐμφανῶς τὴν κιβωτὸν τῆς διαθήκης τοῦ Θεοῦ, ἤτοι τὰ ἀγαθὰ τὰ ἐπηγγελμένα τοῖς δικαίοις, ὧν τοὺς τύπους εἶχον οἱ ἅγιοι ἐν τῷ παρόντι κόσμῳ. Καὶ ὥσπερ ἐν τῇ ἐμφανείᾳ τῆς σκιώδους κιβωτοῦ ἐν τῷ ὄρει Σινᾷ, ἐγένοντο ἀστραπαὶ καὶ βρονταὶ καὶ φωναὶ καὶ σεισμὸς, οὕτω καὶ ἐν τῷ ἀπολαῦσαι τοὺς δικαίους τῶν ὄντως ἀγαθῶν, συμβήσεται τοῖς ἁμαρτωλοῖς ἀπειλαὶ καὶ τρόμος καὶ ὀργὴ καταβαίνουσα ἐπ' αὐτοῖς, ὥσπερ χάλαζα μεγάλη, καὶ αὕτη ἐστὶν ἡ οὐαὶ ἡ τρίτη ἐπ' αὐτούς.

---

(1) Ἐξοδ. κέ. 40.

## ΚΕΦΑΛΑΙΟΝ ΙΒ΄.

1 Καὶ σημεῖον μέγα ὤφθη ἐν τῷ οὐρανῷ· Γυνὴ περιβεβλημένη τὸν ἥλιον, καὶ ἡ σελήνη ὑποκάτω τῶν ποδῶν αὐτῆς, καὶ ἐπὶ τῆς κεφαλῆς αὐτῆς στέφανος ἀστέρων δώδεκα.

2 Καὶ ἐν γαστρὶ ἔχουσα, ἔκραζεν ὠδίνουσα, καὶ βασανιζομένη τεκεῖν.

Σημεῖον μέγα ἐστὶν ἡ κυρία Θεοτόκος, ἡ ὑπεραγία Μαριάμ· κτιστὴ γὰρ οὖσα γεγέννηκε τὸν δημιουργὸν, τὸν καὶ κτίστην τοῦ παντός· πεπερασμένη τε καὶ περιγραπτὴ ὑπάρχουσα, ἐχώρησεν ἐν τῇ μήτρᾳ αὐτῆς τὸν ἄπειρον καὶ ἀπερίγραπτον Θεόν· ἅμα δὲ τἀναντία παραδόξως ἐν αὐτῇ συνέδραμον, γέννησις καὶ παρθενία· οὐδὲν οὖν μεῖζον τούτου τοῦ σημείου. Ἐν τῷ οὐρανῷ δὲ ὤφθη, διὰ τὸ εἶναι τὰς διαθέσεις καὶ τὰ φρονήματα ταύτης οὐράνια. Αὕτη δὲ γυνὴ λέγεται ὡς ἀπόγονος Εὔας τῆς πρώτης γυναικὸς, ἧς καὶ τὴν ἀρὰν ἐξήλειψε, γενομένη κατ᾽ ἀλήθειαν μήτηρ τῶν ζώντων, τῶν τὴν ὄντως ζωὴν κτησαμένων διὰ τῆς πίστεως, δι᾽ ἣν αἰτίαν καὶ ὁ Ἀπόστολος ὀνομάζει ταύτην γυναῖκα, ἐν τῷ λέγειν· « Ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον » (1). Περιβεβλημένη δὲ τὸν ἥλιον ὦπται· ὁ γὰρ παρὰ τῶν Προφητῶν ῥηθεὶς ἥλιος τῆς δικαιοσύνης Χριςὸς, ὁ ἐν τῇ καθαρᾷ αὐτῆς νηδύϊ ἐνοικήσας περιέβαλε ταύτην τῇ χάριτι αὐτοῦ. Ἔσχηκε δὲ ὑπὸ τοὺς πόδας αὐτῆς τὴν σελήνην, δηλοῦσαν πᾶσαν τὴν κτίσιν, ὡς ἀνωτέρα πάντων τῶν κτισμάτων. Οἱ δὲ δώδεκα ἀστέρες οἱ στεφανοῦντες αὐτὴν εἰσιν οἱ Ἀπόστολοι, οἱ κηρύξαντες ταύτην τῷ κόσμῳ. Ἔτι γυνὴ περιβεβλημένη τὸν ἥλιον ἐστὶν ἡ τοῦ Χριστοῦ ἁγία Ἐκκλησία, ἥλιος δὲ

(1) Γαλ. δ΄, 4.

ὁ ἀμπέχων αὐτὴν ἐστι τὸ ἅγιον Εὐαγγέλιον, ἡ δὲ ὑπὸ τοὺς πόδας ταύτης σελήνη ἐστὶν ἡ παλαιὰ Διαθήκη, ἥτις ὕφεσιν ἔλαβεν, ἀνυψωθείσης τῆς Εὐαγγελικῆς Διαθήκης, κατὰ τὴν προφητείαν Ἀββακοὺμ τὴν λέγουσαν· «Ἐπήρθη ὁ ἥλιος, καὶ ἡ σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς» (1), τουτέστι τὸ Εὐαγγέλιον ἐπήρθη, καὶ ἐπεκράτησε, καὶ εἰς τὸν κόσμον διέδραμε, καὶ οἱ εἰς αὐτὸ πιστεύσαντες ἐπληθύνθησαν, ἡ δὲ παλαιὰ νομοθεσία συνεστάλη καὶ κατέπαυσεν· ὥσπερ γὰρ ἡ σελήνη οὐκ ἴδιον ἔχει φῶς, ἀλλ' ὑπὸ τοῦ ἡλίου καταυγάζεται, καὶ ἐν νυκτὶ φαίνει· οὕτω καὶ ἡ παλαιὰ Διαθήκη οὐκ ἴδιον φῶς ἐκέκτητο, ἀλλὰ τύπος καὶ εἰκὼν τῆς νέας Διαθήκης ὑπάρχουσα, ὑπ' αὐτῆς κατηυγάζετο, καὶ ἐν νυκτὶ τῆς ἀγνωσίας ἐφώτιζε, τύπος τῆς ἀληθείας τυγχάνουσα· ἀνατείλαντος δὲ τοῦ ἡλίου, ἤτοι ἐλθούσης τῆς ὑπερφώτου ἀληθείας, ἐκείνη ἠμαύρωται καὶ ἀφεγγὴς διέμεινε, διὰ τοῦτο καὶ ὑπὸ τοὺς πόδας τῆς Ἐκκλησίας ὡράθη, οὐ πάντη ἀποῤῥιφεῖσα, ἀλλ' ἐγγίζουσα μὲν, ὑφειμένην δὲ τὴν τιμὴν ἔχουσα, καὶ οἱονεὶ ὑποστηρίζουσα τὴν ἀλήθειαν, καὶ πρὸς αὐτὴν ὡς ὑποβάθρα ἀνάγουσα. Δώδεκα δὲ ἀστέρες, οἵτινες στεφανοῦσι τὴν κεφαλὴν ταύτης, εἰσὶν αἱ ἀρεταὶ καὶ οἱ δώδεκα Ἀπόστολοι, οἱ τὴν εὐαγγελικὴν νομοθεσίαν ἐν τῷ κόσμῳ κηρύξαντες. Τὸ δὲ ἐν γαστρὶ ἔχειν, καὶ ὠδίνουσαν ταύτην κράζειν, καὶ βασανιζομένην τεκεῖν, ὅμοιόν ἐστι τῷ εἰρημένῳ παρὰ τοῦ Ἠσαΐου λέγοντος· «Πρὶν ἢ τεκεῖν τὴν ὠδίνουσαν, καὶ πρὶν ἐλθεῖν τὰς ὠδῖνας τοῦ τοκετοῦ, ἔφυγε καὶ ἔτεκεν ἄῤῥεν» (2). Ἀμφότεροι δὲ οἱ λόγοι δηλοῦσι τήν τε κυρίαν Θεοτόκον, ὁρῶσαν τὸν μνήστορα Ἰωσὴφ, ὑπονοίᾳ γενόμενον περὶ τῆς συλλήψεως αὐτῆς, καὶ βουλόμενον ἀπολῦσαι αὐτὴν, καὶ διὰ ταῦτα θλιβομένην τε καὶ ὀδυνωμένην· διὰ δὲ τῆς πρὸς τὸν Ἰωσὴφ τοῦ ἀγγέλου ἀποκαλύψεως, ἐκ Πνεύματος ἁγίου γνωσθείσης τῆς συλλήψεως, φυγοῦσαν τὴν ὑποψίαν καὶ τὸ ἔγκλημα,

(1) Ἀββ. γ', 11. (2) Ἡσ. ξς', 7.

καὶ γεννήσασαν τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον. Δηλοῖ δὲ καὶ τὴν Ἐκκλησίαν, τὴν γεννήσασαν τοὺς Χριστιανοὺς ἐν ὠδῖσι καὶ πόνοις, τοῖς ἀπὸ τῶν διωγμῶν τῶν ἐκ τῶν τυράννων, ἃς μέχρι τοῦδε ὑφίσταται, ἀλλ' ἡ δύναμις τοῦ Κυρίου ἐνδυναμοῖ ταύτην, καὶ καταπολεμεῖ τοὺς ἐχθροὺς αὐτῆς.

3 **Κ**αὶ ὤφθη ἄλλο σημεῖον ἐν τῷ οὐρανῷ· καὶ ἰδοὺ δράκων μέγας πυῤῥὸς, ἔχων κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ διαδήματα ἑπτά.

4 **Κ**αὶ ἡ οὐρὰ αὐτοῦ σύρει τὸ τρίτον τῶν ἀστέρων τοῦ οὐρανοῦ, καὶ ἔβαλλεν αὐτοὺς εἰς τὴν γῆν· καὶ ὁ δράκων ἕστηκεν ἐνώπιον τῆς γυναικὸς τῆς μελλούσης τεκεῖν, ἵνα ὅταν τέκῃ, τὸ τέκνον αὐτῆς καταφάγῃ.

5 **Κ**αὶ ἔτεκεν υἱὸν ἄῤῥενα, ὃς μέλλει ποιμαίνειν πάντα τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ· καὶ ἡρπάσθη τὸ τέκνον αὐτῆς πρὸς τὸν Θεὸν, καὶ τὸν θρόνον αὐτοῦ.

6 **Κ**αὶ ἡ γυνὴ ἔφυγεν εἰς τὴν ἔρημον, ὅπου ἔχει ἐκεῖ τόπον ἡτοιμασμένον ὑπὸ τοῦ Θεοῦ, ἵνα ἐκεῖ τρέφωσιν αὐτὴν ἡμέρας χιλίας διακοσίας ἑξήκοντα.

**Δ**ράκων λέγεται ὁ πονηρὸς διάβολος, διά τε τὴν σκολιότητα τοῦ ἑρπυσμοῦ, καὶ διὰ τὸ ἰοβόλον καὶ φθοροποιόν· ἔτι δὲ, καὶ διὰ τὸ ἀπατῆσαι τοὺς πρωτοπλάστους διὰ τοῦ δράκοντος. Ὤφθη δὲ πυῤῥὸς, διὰ τὸ ἀγαπᾷν αὐτὸν τὰς ἀνδροφονίας καὶ αἱμα-

τοχυσίας. Μέγας δὲ λέγεται διὰ τὴν ἐν αὐτῷ μεγάλην κακιαν. Ἐν τῷ οὐρανῷ δὲ ὤφθη, ὅτι ἐκ τοῦ οὐρανοῦ πέπτωκεν. Αἱ δὲ ἑπτὰ κεφαλαὶ αὐτοῦ εἰσιν αἱ ἑπτὰ θανάσιμοι ἁμαρτίαι, ὧν τὸ ἑπταδικὸν δεδήλωκε Σολομὼν εἰπὼν, ὅτι ἐν τῇ καρδίᾳ τοῦ ἐχθροῦ, ἑπτὰ κακίαι. Δέκα δὲ κέρατα αἱ πονηρίαι αὐτοῦ καὶ κακομηχανίαι, δι' ὧν κερατίζει καὶ πολεμεῖ τὰς δέκα τοῦ Θεοῦ ἐντολάς. Τὰ δὲ ἑπτὰ διαδήματά εἰσιν, ὡς προείρηται, αἱ ἑπτὰ θανάσιμοι ἁμαρτίαι, ἐν αἷς δοξάζουσι καὶ κοσμοῦσιν αὐτὸν οἱ ἁμαρτάνοντες. Ἡ δὲ οὐρὰ ἡ σύρουσα τὸ τρίτον τῶν ἀστέρων τοῦ οὐρανοῦ ἐστιν ὁ φθόνος, ὁ κατόπιν τῆς ἀλαζονείας αὐτοῦ φυεὶς, δι' οὗ ἔσυρε καὶ κατέσπασεν εἰς τὴν γῆν τὸ τρίτον τῶν ἀστέρων, τουτέστι τοὺς ὁμοταγεῖς αὐτοῦ ἐν τῇ ἀγγελικῇ τάξει, τοὺς πρώην τρισαγίοις ᾄσμασι δοξολογοῦντας τὴν τρισήλιον θεότητα, καὶ ὡς ἀστέρας λάμποντας. Διὰ ταύτης τῆς οὐρᾶς κατασπᾷ πολλοὺς τῶν ἀνθρώπων, διαπρέποντας ὡς ἀστέρας ἐπὶ τῇ εἰς τὴν παναγίαν τριάδα πίστει αὐτῶν, καταρράττει τε αὐτοὺς καὶ ἐκτραχηλίζει εἰς βάραθρα αἱρέσεως καὶ κακοδοξιῶν, καὶ εἰς φρονήματα χθόνια καὶ χαμαίζηλα· ἀλλὰ καὶ πολλοὺς τῶν ἐν τῷ στερεώματι τῆς ἐκκλησίας, δίκην ἀστέρων, ἀγλαῶς σελαγίζοντας, κρημνίζει εἰς ἐπιθυμίας καταχθονίους καὶ ζοφεράς. Οὗτος ὁ ἀρχέκακος δράκων προεθυμήθη, ἵνα διὰ τοῦ βρεφοκτόνου Ἡρώδου καταπίῃ τὸν Ἰησοῦν Χριςὸν ἤδη γεννηθέντα, καὶ ἀφανίσῃ αὐτὸν, ὃν ἔφη ὁ Προφήτης, ὅτι ποιμανεῖ τὰ ἔθνη ἐν ῥάβδῳ σιδηρᾷ, τουτέστιν ἐν δυνάμει κραταιᾷ, καὶ ἀπαλλάξει ταῦτα τῆς ἐκείνου δουλείας, καὶ καταστήσει αὐτὰ ποίμνιον ἑαυτοῦ. Καὶ ταῦτα μὲν ὁ ἀρχέκακος ἐπεβούλευσεν, ἡ δὲ θεϊκὴ δύναμις, ἡ ἀποσταλεῖσα ἀπὸ τοῦ θρόνου αὐτοῦ, ἐῤῥύσατο ἐκ τῆς ἐπιβουλῆς αὐτὸν, φυγόντα μετὰ τῆς μητρὸς αὐτοῦ εἰς Αἴγυπτον, ἥτις τότε μὲν ὑπῆρχεν ἔρημος, καὶ ἐστερημένη τῆς θεογνωσίας, προητοίμαστο δὲ ὑπὸ Θεοῦ πρὸς φρουρὰν καὶ συντήρησιν τοῦ ἐνανθρωπήσαντος υἱοῦ τοῦ Θεοῦ καὶ τῆς μητρὸς αὐτοῦ, καθὰ γέγραπται, « Ἐξ Αἰ-

γύπτου ἐκάλεσα τὸν υἱόν μου » (1). Περὶ οὗ καὶ ὁ Ἡσαίας προφητεύων ἐναργέςατα εἶπεν· « Ἰδοὺ Κύριος ἔρχεται καθήμενος ἐπὶ νεφέλης κούφης, καὶ σεισθήσονται τὰ χειροποίητα Αἰγύπτυ» (2), νεφέλην ὀνομάζων τὴν πανάχραντον αὐτοῦ μητέρα, ἧς ἐν ἀγκάλαις ἐποχούμενος ἐπορεύθη εἰς Αἴγυπτον, καὶ ἔμεινεν ἐκεῖ ἡμέρας χιλίας διακοσίας ἑξήκοντα. Ὁ αὐτὸς δράκων ἔστη μετὰ ταῦτα καὶ ἐνώπιον τῆς ἁγίας Ἐκκλησίας, ἵνα καταφάγῃ τοὺς ἀῤῥενόφρονας υἱοὺς αὐτῆς, ἐξεγείρας κατ' αὐτῶν πολλοὺς μισοχρίστους, ἀλλὰ ἡ δύναμις τοῦ Θεοῦ ἥρπασε τοὺς εὐσεβεῖς, καὶ ἐῤῥύσατο αὐτοὺς ἐκ τῆς ἐπιβουλῆς αὐτῶν, καὶ ἐνίσχυσεν εἰς τὸ συντρίψαι τὰς κεφαλὰς τοῦ πονηροῦ δράκοντος καὶ τῶν ὀπαδῶν αὐτοῦ, καὶ τῇ δυνάμει τοῦ Σταυροῦ, οἱ Ἀπόστολοι ἠλευθέρωσαν τὰ ἔθνη ἐκ τῆς δουλείας τοῦ διαβόλου, καὶ ἐποίησαν ταῦτα ποίμνιον τοῦ Χριστοῦ καὶ ἑαυτῶν. Ταῦτα τὰ δεινὰ ἐγερεῖ κατ' αὐτῶν ὁ νοητὸς δράκων καὶ ἐπὶ τοῦ ἀντιχρίστου, ἀλλ' ὁ Θεὸς ῥύσεται τοὺς εὐσεβεῖς, καὶ πόῤῥω ποιήσεται αὐτοὺς τῆς ἐκείνου ἐπιβουλῆς, καὶ θρέψει αὐτοὺς τρία ἥμισυ ἔτη, τῆς βασιλείας τοῦ ἀντιχρίστου· γέγραπται γάρ, «Τίς δώσει μοι πτέρυγας ὡσεὶ περιστερᾶς, καὶ πετασθήσομαι, καὶ καταπαύσω ; Ἰδοὺ ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ κτλ. » (3). Οὗτος ὁ ψαλμὸς προφητεύει τὴν φυγὴν καὶ ἀπαλλαγὴν τῶν δικαίων ἀπὸ τῶν τοῦ διαβόλου ἐπιβουλῶν, καὶ τὴν μόνωσιν αὐτῶν καὶ ἀπολύτρωσιν καὶ ἐρημίαν ἀπὸ τῶν κοσμικῶν μεριμνῶν, καὶ ἣν ἕξουσι προσδοκίαν ἀπολαῦσαι τῆς θείας ἐπικουρίας.

7 **Κ**αὶ ἐγένετο πόλεμος ἐν τῷ οὐρανῷ· ὁ Μιχαὴλ καὶ οἱ ἄγγελοι αὐτοῦ ἐπολέμησαν κατὰ τοῦ δράκοντος, καὶ ὁ δράκων ἐπολέμησε, καὶ ο ἄγγελοι αὐτοῦ.

(1) Ματθ. β', 15. (2) Ἡσ. κεφ. ιθ', 1. (3) Ψαλ. νγ', 6.

8 **Κ**αὶ οὐκ ἴσχυσαν, οὔτε τόπος εὑρέθη αὐτῶν
ἔτι ἐν τῷ οὐρανῷ.

9 **Κ**αὶ ἐβλήθη ὁ δράκων ὁ μέγας, ὁ ὄφις ὁ ἀρ-
χαῖος, ὁ καλούμενος διάβολος, καὶ ὁ σατανᾶς, ὁ
πλανῶν τὴν οἰκουμένην ὅλην, ἐβλήθη εἰς τὴν γῆν·
καὶ οἱ ἄγγελοι αὐτοῦ μετ' αὐτοῦ ἐβλήθησαν.

Ἐνταῦθα ἡ ἀποκάλυψις διδάσκει τὴν αἰτίαν, δι' ἣν ὁ δυσμενὴς διάβολος ἐχθραίνει καὶ πολεμεῖ τὸ βρότειον γένος· ἐπαρθεὶς γὰρ καὶ ἀποστατήσας ἀπὸ τοῦ Θεοῦ αὐτός τε καὶ οἱ συμφρονήσαντες αὐτῷ, καὶ ἀποῤῥιφεὶς μετ' αὐτῶν ἀπὸ τῆς δόξης ἣν εἶχον, σκότος ἐγένοντο. Οἱ δὲ φωτεινοὶ ἄγγελοι μεμενηκότες ἐν τῇ θείᾳ ὑποταγῇ, διεκρίθησαν ἀπὸ τῶν ἀποστατῶν, καὶ οἱονεὶ μάχην συνέστησαν κατ' αὐτῶν, ἀποστυγοῦντες τὸ πονηρὸν, καὶ κολλώμενοι τῷ ἀγαθῷ· οὐδεμία γὰρ μετοχὴ καλοῦ πρὸς κακὸν, οὐδὲ φωτὸς πρὸς σκότος. Οἱ οὖν στερηθέντες τοῦ θείου φωτὸς, καὶ γυμνωθέντες τῆς χάριτος αὐτοῦ, εἰς τοσαύτην ἀδυναμίαν καὶ ἀθλιότητα κατήντησαν, ὥστε οὐδὲ ἀντιβλέψαι τῷ φωτὶ τῶν ἀγγέλων δύνασθαι, οὐδὲ στῆναι κατ' ἐνώπιον αὐτῶν, πολλοῦ γε δεῖ ἀντιταχθῆναι καὶ ἀντιπαλαῖσαι τῇ δυνάμει αὐτῶν. Κατέπεσον οὖν εἰς γῆν, καὶ οὐκέτι ἔμεινε τόπος αὐτοῖς ἐν τῷ οὐρανῷ· καὶ ἔκτοτε, αὐτοὶ μὲν ἐπιβούλως διάκεινται περὶ τοὺς ἀνθρώπους καὶ δυσμενῶς· οἱ δὲ φωτεινοὶ ἄγγελοι περισκέπουσι καὶ περιφρουροῦσι, τοὺς διὰ τῆς ὀρθοδόξου πίστεως καὶ τῶν χριστιανοπρεπῶν πράξεων ἑαυτοὺς καθαίροντας, καὶ οὐρανίους γενέσθαι σπεύδοντας, καὶ τῷ θείῳ φωτὶ λαμπρυνομένους, ὥς τε οὐκ ἔτι μένει τῷ διαβόλῳ χώρα ἐν αὐτοῖς.

10 **Κ**αὶ ἤκουσα φωνὴν μεγάλην λέγουσαν ἐν τῷ

οὐρανῷ· Ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις καὶ ἡ βασιλεία τοῦ Θεοῦ ἡμῶν.

11 **Κ**αὶ ἡ ἐξουσία τοῦ Χριστοῦ αὐτοῦ, ὅτι κατεβλήθη ὁ κατήγορος τῶν ἀδελφῶν ἡμῶν, ὁ κατηγορῶν αὐτῶν ἐνώπιον τοῦ Θεοῦ ἡμῶν ἡμέρας καὶ νυκτός.

12 **Κ**αὶ αὐτοὶ ἐνίκησαν αὐτὸν διὰ τὸ αἷμα τοῦ ἀρνίου, καὶ διὰ τὸν λόγον τῆς μαρτυρίας αὐτῶν, καὶ οὐκ ἠγάπησαν τὴν ψυχὴν αὐτῶν ἄχρι θανάτου.

Κατήγορος λέγεται ὁ σατᾶν, τουτέστιν ὁ διάβολος, διότι διέβαλε τὸν Θεὸν πρὸς τοὺς προπάτορας ἡμῶν Ἀδὰμ καὶ Εὔαν, ὅτι διὰ φθόνον ἀπηγόρευσεν αὐτοὺς τῆς γεύσεως τοῦ ξύλου τῆς γνώσεως· διέβαλε καὶ τὸν Ἰὼβ πρὸς τὸν Θεὸν, ὅτι εὐχαριστεῖ καὶ δοξάζει αὐτὸν, οὐ δι' εὐσέβειαν, ἀλλὰ διὰ περίσσειαν καὶ ἀφθονίαν τῶν πρὸς τὸ ζῆν. Προσέτι λέγεται κατήγορος καὶ διάβολος τῶν εὐσεβῶν, διὰ τὸ κακὰ βουλεύεσθαι κατ' αὐτῶν, ὡς καὶ οἱ καταψευδόμενοι κατήγοροι καὶ διαβάλλοντες τοὺς μισουμένους καὶ φθονουμένους· διὸ εἰκότως τοῦτον κατήγορον ὀνομάζει ἡ ἀποκάλυψις. Τοὺς δὲ δικαίους ὀνομάζουσιν οἱ ἄγγελοι ἀδελφοὺς, διότι ἐν τῷ παρόντι βίῳ ἀγγελικῇ καθαρότητι πολιτεύονται, καὶ γεγόνασι δυνατοὶ ἰσχύϊ, εἰς τὸ ποιῆσαι τὸ θέλημα τοῦ Θεοῦ, καὶ τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ. Χαίρουσι δὲ οἱ ἄγγελοι καὶ ἐπὶ τοῖς ἀριστεύμασι τῶν ἁγίων μαρτύρων, τῶν νικησάντων τὸν διάβολον ἐν τῷ αἵματι τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ κεκλημένου παρὰ τοῦ Ἠσαΐου καὶ τοῦ Προδρόμου, ἀρ-

νίου καὶ ἀμνοῦ, αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου· τυθεὶς γὰρ ἐπὶ σταυροῦ, δέδωκεν ἄφεσιν ἁμαρτιῶν τοῖς εἰς αὐτὸν πιστεύουσι, καὶ προσερχομένοις αὐτῷ ἀπὸ παντὸς τοῦ κόσμου. Τὸ δὲ εἰρημένον διὰ τὸ αἷμα τοῦ ἀρνίου ἐστὶν, ἀντὶ τοῦ, διὰ τὸ μιμηθῆναι αὐτοὺς τὴν χύσιν τοῦ αἵματος τοῦ Χριστοῦ· ὥσπερ γὰρ ἐκεῖνος, οὐκ ἐφείσατο ἑαυτοῦ παραδοῦναι εἰς θάνατον, διὰ τὴν πρὸς ἀνθρώπους ἀγάπην, οὕτω καὶ οἱ μάρτυρες οὐκ ἐφείσαντο παραδοῦναι ἑαυτοὺς τῷ θανάτῳ, καὶ οὐκ ἠγάπησαν ἑαυτοὺς ἄχρι θανάτου διὰ τὴν ἀγάπην τοῦ Θεοῦ, ἐν ᾧ καὶ χαίρουσιν οἱ ἐν οὐρανῷ ἄγγελοι, καὶ εὐχαριστοῦσι λέγοντες· Ἄρτι ἐγένετο ἡ σωτηρία καὶ ἡ δύναμις, καὶ ἡ βασιλεία τοῦ Θεοῦ ἡμῶν, καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ αὐτοῦ. Τὸ δὲ, καὶ ἡ ἐξουσία τοῦ Χριστοῦ, οὐκ ἀπαλλοτριοῖ τὸν υἱὸν ἀπὸ τῆς τοῦ πατρὸς θεότητος, ἀλλὰ δείκνυσιν, ὅτι, ὡς μὲν Θεὸς ὁ υἱὸς, ἔχει τὴν ἐξουσίαν πρὸ πάντων αἰώνων· ὡς δὲ ἐνανθρωπήσας, καὶ Χριστὸς κληθεὶς, μέτοχον τῆς θεϊκῆς αὐτοῦ ἐξουσίας πεποίηκε, καὶ τὴν ἀνθρωπότητα αὐτοῦ, καὶ διὰ τῶν σημείων καὶ τῶν κατὰ τοῦ διαβόλου τροπαίων ἐγνώσθη τῷ κόσμῳ καὶ ἡ τῆς ἀνθρωπότητος αὐτοῦ ἐξουσία, πεσόντος τοῦ πονηροῦ δράκοντος, καὶ γενομένης τῆς σωτηρίας τῶν πιστῶν παρ' αὐτοῦ.

13 Διὰ τοῦτο εὐφραίνεσθε οἱ οὐρανοὶ, καὶ οἱ ἐν αὐτοῖς σκηνοῦντες· Οὐαὶ τοῖς κατοικοῦσι τὴν γῆν καὶ τὴν θάλασσαν, ὅτι κατέβη ὁ διάβολος πρὸς ὑμᾶς, ἔχων θυμὸν μέγαν, εἰδὼς ὅτι ὀλίγον καιρὸν ἔχει.

Κατοικοῦντες τὴν γῆν καὶ τὴν θάλασσάν εἰσιν οἱ λογισμοὺς καὶ διανοήματα ἐπίγεια καὶ κοσμικὰ καὶ χαμαίζηλα ἔχοντες, καὶ οἱ κλυδωνιζόμενοι τοῖς κύμασι τῶν ματαίων καὶ προσ-

καίρων μεριμνῶν, αἷς καταθέλγει καὶ ἀπασχολεῖ αὐτοὺς ὁ καταπεσὼν δράκων, ὁ πλανῶν τὴν οἰκουμένην ὅλην, ἔχων θυμὸν μέγαν κατὰ τῶν ἀνθρώπων, εἰδώς, ὅτι ὀλίγον καιρὸν ἔχει, καὶ ζητῶν τὴν ἀπώλειαν αὐτῶν. Λέγεται δὲ καταβῆναι αὐτὸν πρὸς αὐτούς, τοὺς γαιόφρονας δηλαδή, οὐχὶ δὲ πρὸς τοὺς δικαίους· οὐ γὰρ ἔχει ἐν αὐτοῖς χώραν, οὐδὲ δύναται αὐτοὺς κατὰ ψυχὴν λυμήνασθαι· αἱ γὰρ κατ' αὐτῶν προσβολαὶ καὶ κακώσεις αὐτοῦ καθαίρουσιν αὐτούς, ὡς τὸ ἀργύριον τὸ πεπυρωμένον, τὸ ἑπταπλασίως ἐν τῇ χωνείᾳ κεκαθαρμένον, καὶ ὡς τὸ δόκιμον χρυσίον ἐν τῷ χωνευτηρίῳ, κατὰ τὸν Σολομῶντα· « Οὐχ οὕτως δὲ οἱ ἀσεβεῖς οὐχ οὕτως, ἀλλ' ἢ ὡσεὶ χνοῦς, ὃν ἐκρίπτει ὁ ἄνεμος ἀπὸ προσώπου τῆς γῆς » (1)· καὶ οὐαὶ αὐτοῖς.

14 Καὶ ὅτε εἶδεν ὁ δράκων, ὅτι ἐβλήθη εἰς τὴν γῆν, ἐδίωξε τὴν γυναῖκα, ἥτις ἔτεκε τὸν ἄῤῥενα.

15 Καὶ ἐδόθησαν τῇ γυναικὶ δύο πτέρυγες τοῦ ἀετοῦ τοῦ μεγάλου, ἵνα πέτηται εἰς τὴν ἔρημον εἰς τὸν τόπον αὐτῆς, ὅπως τρέφεται ἐκεῖ καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ, ἀπὸ προσώπου τοῦ ὄφεως.

Ὁ νοητὸς ὄφις, ὁ πονηρὸς διάβολος, διὰ μέσου τοῦ αἰσθητοῦ ὄφεως, προσήνεγκεν ἐν τῷ παραδείσῳ τὴν ἀπάτην τοῖς πρωτοπλάσταις· ὅθεν καὶ ἡ τότε παρὰ Θεοῦ δοθεῖσα ἀρὰ διπλῆ νοεῖται, ἡ μὲν αἰσθητὴ τῷ αἰσθητῷ ὄφει, τῷ ὀργάνῳ γενομένῳ· ἡ δὲ νοητὴ τῷ νοητῷ, τῷ ὀργάνῳ χρησαμένῳ, καὶ δι' αὐτοῦ τὴν ἀπάτην κατεργασαμένῳ. Κατεδικάσθη λοιπόν, ὁ μὲν αἰσθητὸς ὄφις ἐν γῇ ἐνειλεῖσθαι, καὶ αἰσθητὴν γῆν ἐσθίειν· ὁ δὲ νοητὸς ἐν τοῖς κατω-

(1) Ψαλμ. ά, 4.

τάτοις καταδῦναι, καὶ βρῶσιν ἔχειν τοὺς ἀσχολουμένους περὶ τὰ γήϊνα φρονήματα καὶ κατώτατα. Λέγει οὖν ἐνταῦθα, ὅτι ὁ νοητὸς ὄφις, ὁ καὶ δράκων λεγόμενος, ὅτε εἶδεν ἑαυτὸν ἐκπεπτωκότα τῆς δόξης καὶ ἀξίας τῆς ὑπερτάτης, καὶ βεβλημένον εἰς τὴν γῆν, ἀνεδέξατο ὀργὴν μεγάλην κατὰ παντὸς τοῦ ἀνθρωπίνου γένους, ὥστε μετὰ καιρὸν τολμῆσαι καὶ τὴν γυναῖκα διῶξαι, ἥτις ἔτεκε τὸν ἄῤῥενα, τὴν ἀειπάρθενον δηλαδὴ μητέρα τοῦ Κυρίου ἡμῶν, ἐμβαλὼν ταῖς διανοίαις τῶν ἀνθρώπων κατ' αὐτῆς ὑπονοίας πονηρὰς καὶ λογισμοὺς κακούς· παρώξυνε δὲ καὶ τὸν Ἡρώδην θανατῶσαι τὸν υἱὸν αὐτῆς τὸν μονογενῆ τὸν σωτῆρα τοῦ γένους τῶν ἀνθρώπων. Καὶ ταῦτα μὲν οὗτος· ὁ δὲ πατὴρ αὐτοῦ ὁ οὐράνιος, πέμψας βοήθειαν ἔδωκε τῇ θεομήτορι δύο πτέρυγας τοῦ ἀετοῦ τοῦ μεγάλου, ὅστις ἐστὶ Γαβριὴλ ὁ ἀρχιστράτηγος τῶν ἀγγελικῶν δυνάμεων. Πτέρυγες δὲ αὐτοῦ δύο εἰσὶν οἱ δύο χρηματισμοί, ὁ μὲν πρὸς τοὺς μάγους ἐλθόντας εἰς προσκύνησιν τοῦ ἀρτιγενοῦς Χριστοῦ, ἵνα μὴ ἀνακάμψωσι πρὸς Ἡρώδην τὸν παλαμώμενον τὸν φόνον αὐτοῦ, ἀλλὰ δι' ἄλλης ὁδοῦ ἀναχωρήσωσιν εἰς τὰς πατρίδας αὐτῶν· ὁ δὲ πρὸς τὸν μνηστῆρα αὐτῆς Ἰωσήφ, ἵνα ἐγερθεὶς παραλάβῃ τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φύγῃ εἰς Αἴγυπτον. Τούτων οὖν τῶν δύο πτερύγων δοθεισῶν αὐτῇ ἀπέπτη εἰς Αἴγυπτον, τὴν τότε ὑπάρχουσαν ἔρημον τῆς γνώσεως τοῦ Θεοῦ, καὶ οὕτως ἐῤῥύσθη ἐκ τοῦ διωγμοῦ τοῦ δράκοντος, καὶ ἔμεινεν ἐκεῖ τρεφομένη καιρὸν καὶ καιροὺς καὶ ἥμισυ καιροῦ, τουτέστι χρόνον ἕνα, καὶ δύο, καὶ ἥμισυν, ἤτοι τρεῖς καὶ ἥμισυ χρόνους, τὸ διάστημα τῆς λοιπῆς ζωῆς τοῦ βρεφοκτόνου Ἡρώδου, ὃ προείρηκε καὶ Δανιὴλ ὁ Προφήτης. Αὐτὸς δὲ ὁ νοητὸς ὄφις, τούτου μὲν τοῦ βουλεύματος ἀπέτυχεν, οὐκ ἐπαύσατο δὲ μετὰ τοῦτο διώκειν τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, καὶ τὸν υἱὸν αὐτῆς, ὅς ἐστιν ὁ χριστιανικὸς καὶ ὀρθόδοξος λαός, ἄῤῥην λεγόμενος, ὡς ἀνδρικῶς ὑπὲρ τῆς πίστεως ἀγωνιζόμενος, καὶ μὴ ἔχων ἐν ἑαυτῷ χαῦνα καὶ ἐκτεθηλυμένα

φρονήματα· τοῦτον τὸν λαὸν, καὶ τὴν μητέρα αὐτοῦ, τὴν ἁγίαν Ἐκκλησίαν οὐ διέλειπε διώκων διὰ τῶν ὑπασπιστῶν αὐτοῦ, κακεντρεχῶν καὶ ἀσεβῶν ἀνθρώπων. Ἐπαναστήσονται δὲ καὶ ἐν ταῖς ἡμέραις τοῦ ἀντιχρίστου κατ' αὐτῶν διωγμοὶ πολλοὶ, ἐρεθιζόμενοι ὑπὸ τοῦ διαβόλου, πρὸς τὸ ἀπωλέσαι τούτους, ἀλλ' αἱ πτέρυγες τοῦ μεγάλου Θεοῦ σώσουσι καὶ σκεπάσουσιν αὐτοὺς ἀπὸ προσώπου τοῦ ὄφεως, γενομένους ἐν πολιτείᾳ μεμονωμένῃ, καὶ ἀπηλλαγμένῃ τῶν κοσμικῶν μεριμνῶν ἐν τῷ ῥηθέντι διαστήματι τῆς ἐν τῷ κόσμῳ βασιλείας τοῦ ἀντιχρίστου.

16 Καὶ ἔβαλεν ὁ ὄφις ἐκ τοῦ στόματος αὐτοῦ ὀπίσω τῆς γυναικὸς ὕδωρ ὡς ποταμὸν, ἵνα ταύτην ποταμοφόρητον ποιήσῃ.

17 Καὶ ἐβοήθησεν ἡ γῆ τῇ γυναικὶ, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα αὐτῆς, καὶ κατέπιε τὸν ποταμὸν, ὃν ἔβαλεν ὁ δράκων ἐκ τοῦ στόματος αὐτοῦ.

18 Καὶ ὠργίσθη ὁ δράκων ἐπὶ τῇ γυναικὶ, καὶ ἀπῆλθε ποιῆσαι πόλεμον μετὰ τῶν λοιπῶν τοῦ σπέρματος αὐτῆς, τῶν τηρούντων τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ ἐχόντων τὴν μαρτυρίαν τοῦ Ἰησοῦ Χριστοῦ.

Στόμα τοῦ ἀρχεκάκου ὄφεως ὑπῆρξαν οἱ ἀρχιερεῖς καὶ οἱ γραμματεῖς καὶ Φαρισαῖοι, καὶ οἱ ἄρχοντες τῶν Ἰουδαίων, οἱ συμβούλιον λαβόντες κατὰ τοῦ Υἱοῦ τῆς Παρθένου τοῦ Ἰησοῦ, ὥστε θανατῶσαι αὐτόν. Ἐκ τούτου τοῦ πονηροῦ στόματος ἐξεβλήθη ὡς ποταμὸς τὸ ὕδωρ τῶν θλίψεων καὶ ἀλγεινῶν ὀδυνῶν, ἃς ὑπέστη ἡ πανάχραντος Θεοτόκος ἐν τῷ καιρῷ τοῦ πάθους τοῦ μονογενοῦς αὐτῆς Υἱοῦ, μητροπρεπῶς ὀδυνομένη, καὶ ἀνθρωπί-

νως ἀμφιγνοοῦσα περὶ τῆς ἀναστάσεως αὐτοῦ· ταύτην δὲ τὴν ὀδύνην προεμύνησε Συμεὼν εἰπών· « Καὶ σοῦ δὲ αὐτῆς τὴν ψυχὴν διελεύσεται ῥομφαία » (1)· ἀλλ' ἡ γῆ ἐβοήθησε τῇ γυναικί, ἀνοίξασα τὸ στόμα, καὶ καταπιοῦσα μὲν ὡς νεκρὸν τὸν Υἱὸν αὐτῆς, ἀναδοῦσα δὲ αὖθις αὐτὸν ζῶντα, καὶ διὰ τῆς ἀναδόσεως ταύτης κατέπιε τὸν ποταμὸν τῶν θλίψεων, χαροποιήσασα τὴν Μητέρα τῇ τοῦ Υἱοῦ ἀναδόσει. Ἰδὼν δὲ ὁ δράκων τὰς βουλὰς αὐτοῦ ματαιωθείσας, ὠργίσθη ἐπ' αὐτῆς, καὶ μὴ δυνάμενος ἔτι πολεμῆσαι μετ' αὐτῆς, ἤρξατο ποιεῖν πόλεμον μετὰ τῶν λοιπῶν τοῦ σπέρματος αὐτῆς, τῶν τηρούντων τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ ἐχόντων τὴν μαρτυρίαν τοῦ Ἰησοῦ Χριστοῦ.

## ΚΕΦΑΛΑΙΟΝ ΙΓ'.

1 Καὶ ἐστάθην ἐπὶ τὴν ἄμμον τῆς θαλάσσης· Καὶ εἶδον ἐκ τῆς θαλάσσης θηρίον ἀναβαῖνον, ἔχον κεφαλὰς ἑπτὰ καὶ κέρατα δέκα· καὶ ἐπὶ τῶν κεράτων αὐτοῦ δέκα διαδήματα, καὶ ἐπὶ τὰς κεφαλὰς αὐτοῦ ὀνόματα βλασφημίας.

2 Καὶ τὸ θηρίον ὃ εἶδον, ἦν ὅμοιον παρδάλει, καὶ οἱ πόδες αὐτοῦ ὡς ἄρκτου· καὶ τὸ στόμα αὐτοῦ ὡς στόμα λέοντος· καὶ ἔδωκεν αὐτῷ ὁ δράκων τὴν δύναμιν, καὶ τὸν θρόνον αὐτοῦ, καὶ ἐξουσίαν μεγάλην.

(1) Λουκ. β', 35.

3 Καὶ εἶδον μίαν τῶν κεφαλῶν αὐτοῦ, ὡς ἐ-
σφαγμένην εἰς θάνατον· καὶ ἡ πληγὴ τοῦ θανάτου
αὐτοῦ ἐθεραπεύθη· καὶ ἐθαύμασεν ἡ γῆ ὅλη ὀπίσω
τοῦ θηρίου.

4 Καὶ προσεκύνησαν τὸν δράκοντα, ὃς ἔδωκεν
ἐξουσίαν τῷ θηρίῳ, καὶ προσεκύνησαν τὸ θηρίον,
λέγοντες, τίς ὅμοιος τῷ θηρίῳ; τίς δύναται πολε-
μῆσαι μετ' αὐτοῦ;

5 Καὶ ἐδόθη αὐτῷ στόμα, λαλοῦν μεγάλα καὶ
βλασφημίας· καὶ ἐδόθη αὐτῷ ἐξουσία πόλεμον
ποιῆσαι μῆνας τεσσαράκοντα δύο.

6 Καὶ ἤνοιξε τὸ στόμα αὐτοῦ εἰς βλασφημίαν
πρὸς τὸν Θεὸν, βλασφημῆσαι τὸ ὄνομα αὐτοῦ, καὶ
τὴν σκηνὴν αὐτοῦ, καὶ τοὺς ἐν τῷ οὐρανῷ σκη-
νοῦντας.

7 Καὶ ἐδόθη αὐτῷ πόλεμον ποιῆσαι μετὰ τῶν
ἁγίων, καὶ νικῆσαι αὐτούς· καὶ ἐδόθη αὐτῷ ἐξουσία
ἐπὶ πᾶσαν φυλὴν καὶ γλῶσσαν καὶ ἔθνος.

8 Καὶ προσκυνήσουσιν αὐτῷ πάντες οἱ κατοι-
κοῦντες ἐπὶ τῆς γῆς, ὧν οὐ γέγραπται τὰ ὀνόματα

ἐν τῇ βίβλῳ τῆς ζωῆς τοῦ ἀρνίου ἐσφαγμένου ἀπὸ καταβολῆς κόσμου.

9 Εἴ τις ἔχει οὖς, ἀκουσάτω.

Προέφημεν θάλασσαν τροπικῶς εἰρῆσθαι τὸν παρόντα βίον διά τε τὸ ἄστατον αὐτοῦ καὶ ῥευστόν, καὶ διὰ τὸ πολυτάραχον τῶν κυματωδῶν περιστάσεων. Προσέτι ἡ θάλασσα σημαίνει καὶ τὴν ἀσέβειαν διὰ τὸ ἀλίπικρον καὶ καταποντιστικόν· ἀλλὰ καὶ παρὰ τῷ Ἠσαΐᾳ θάλασσα λέγεται ὁ νότος. Ἐκ θαλάσσης οὖν τὰς τοιαύτας σημασίας ἐχούσης ἀνεδόθη καὶ ἀνέθορε, καὶ εἰς ὕπαρξιν ἦλθεν ἐν τῷ κόσμῳ τὸ θηρίον, ἤτοι τὸ σύστημα τῶν τυράννων καὶ διωκτῶν τῆς πίστεως τῶν Χριστιανῶν, ὡς θηρίον ἀγριωπῶς φερόμενον, ἔχον κεφαλὰς ἑπτά, αἵτινές εἰσι τὰ ἑπτὰ ἀρχικὰ καὶ θανάσιμα τῶν ἐν αὐτοῖς ἁμαρτιῶν, καὶ ὅτι τινὲς αὐτῶν ὠνομάσθησαν καὶ βασιλεῖς τῶν ἑπτὰ κλιμάτων, διότι ἐβασίλευσαν ἐν τῷ αἰῶνι τούτῳ τῷ ἑβδομαδικῷ. Κέρατα δὲ τοῦ συστήματος τῶν διωκτῶν ἐστιν ἡ ἐπικράτεια καὶ ἡ δυναστεία αὐτῶν, δι' ὧν κερατίζουσι καὶ πολεμοῦσι τοῖς εὐσεβέσι. Τὸ δὲ δεκαδικὸν τοῦ ἀριθμοῦ αὐτῶν δηλοῖ τὸ πλῆρες καὶ ἐντελὲς τῆς ἐν αὐτοῖς κακίας. Τὰ δὲ διαδήματα, τὸ ἐγκαυχᾶσθαι καὶ ἐγκαλλωπίζεσθαι ἐπί τε τῇ κακίᾳ καὶ τῇ ματαιότητι. Οὗτοι δὲ πάντες ὑπῆρξαν βλασφημοῦντες τὸν ἀληθινὸν Θεόν, καὶ ἀρνούμενοι τὴν τοῦ Μονογενοῦς θεότητα. Ὅμοιον δὲ παρδάλει ἦν τὸ σύστημα αὐτῶν, ὅπερ σημαίνει τὴν ἐν αὐτοῖς ποικίλην δολιότητα καὶ κακοτροπίαν. Οἱ πόδες αὐτοῦ ὡς ἄρκτου, σημαίνει τὸ ταχύδρομον πρός τε τὴν πρᾶξιν τοῦ κακοῦ, καὶ πρὸς ἐπικράτησιν καὶ ἅλωσιν πόλεων. Τὸ δὲ στόμα αὐτοῦ ὡς στόμα λέοντος, σημαίνει τὸ σπαρακτικὸν καὶ ἀνθρωποκτόνον, διὰ τῆς ἐκ τοῦ στόματος ἐκπορευομένης ἀντιθέτου προσταγῆς. Τούτων δὲ πάντων τὴν δύναμιν ἔδωκεν αὐτοῖς ὁ ἀρχέκακος δράκων, συγχωρήσαντος

τοῦ Θεοῦ, ἵνα δειχθῇ ἀριδήλως, ἥ τε ἀήττητος αὐτοῦ δύναμις διὰ τῶν θαυμάτων, καὶ ἡ θερμότης τοῦ ζήλου τῆς πίστεως τῶν ἐκλεκτῶν αὐτοῦ· οὗτοί γάρ τὸν Θεὸν ἀγαπήσαντες, τὰς βασάνους γενναίως ἔφερον, καὶ τῇ θεϊκῇ δυναστείᾳ τερατουργοῦντες εἵλκυσαν πολλοὺς εἰς τὴν ἀληθινὴν πίστιν, ἀφαρπάσαντες αὐτοὺς ἀπὸ τῆς ἀσεβείας, ὅπερ ἐγένετο τῷ δράκοντι οἷον σφαγὴ εἰς θάνατον. Ἀλλ' ἐπειδή τινες μετὰ τὸ πιστεῦσαι εἰς Χριστὸν, αὖθις μετέστησαν εἰς ἀσέβειαν, καὶ ἠρνήσαντο τὴν πίστιν, διὰ τοῦτο ὤφθη τῷ Εὐαγγελιστῇ καὶ μία τῶν κεφαλῶν τοῦ θηρίου οὐκ ἐσφαγμένη, ἀλλ' ὡς ἐσφαγμένη, καὶ ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ τεθεραπευμένη. Τούτους τοὺς ἀσεβεῖς, τοὺς ὡς θηρίον φανέντας, ἐθαύμασεν ὅλη ἡ γῆ, τουτέστιν, οἱ μηδένα λόγον τῶν οὐρανίων ποιούμενοι, μηδὲ τῆς μελλούσης ζωῆς φροντίζοντες, ἀλλὰ τὰ παρόντα σκοποῦντες, καὶ τὰ τοῦ κόσμου καὶ τῆς γῆς φρονοῦντες, γήϊνοί τε καὶ γῆ ὀνομαζόμενοι παρὰ τῇ θείᾳ Γραφῇ. Οὗτοι τοιγαροῦν θαυμάζοντες ὀπίσω τοῦ θηρίου, καὶ προσκυνοῦντες αὐτῷ συμπροσκυνοῦσι τὸν δράκοντα, τὸν δόντα ἐξουσίαν τῷ θηρίῳ· καὶ λέγει· τίς ὅμοιος τῷ θηρίῳ, καὶ τίς δυναται πολεμῆσαι μετ' αὐτοῦ; μὴ κατανοοῦντες τὴν τοῦ Θεοῦ παναλκεστάτην δύναμιν, μηδὲ λογιζόμενοι τὴν αἰτίαν, δι' ἣν συνεχωρήθη τῷ θηρίῳ ἐκτελέσαι τὰ τῆς κακίστης αὐτοῦ προαιρέσεως. Ἐκ τοῦ ἐπαίνου δὲ αὐτῶν ἐδόθη τῷ θηρίῳ στόμα λαλοῦν μεγάλα καὶ βλασφημίας· παραχωρήσει δὲ Θεοῦ καὶ ἐξουσίαν ἔχειν ἀφέθη ἐπὶ πᾶσαν φυλὴν, καὶ γλῶσσαν καὶ ἔθνος, καὶ πολεμεῖν τοῖς ἁγίοις, καὶ νικᾷν αὐτοὺς κατὰ τὰ σώματα. Τὸ δὲ διάστημα, ὃ λέγει ἡ Ἀποκάλυψις, τῶν τεσσαράκοντα δύο μηνῶν, ὑπεμφαίνει ὅτι τὸ θηρίον κακώσει τοὺς ἀσεβεῖς, καθ' ὃν τρόπον κακώσει αὐτοὺς καὶ ὁ ἀντίχριστος, ὁ μέλλων βασιλεύσειν ἐπὶ τῆς γῆς τρεῖς ἥμυσι χρόνους. Τούτῳ τῷ θηρίῳ προσκυνήσουσι καὶ συμπράξουσιν οὐχ οἱ ἐκλεκτοὶ τοῦ Θεοῦ, ὧν τὰ ὀνόματα γέγραπται ἐν τῇ βίβλῳ τῆς ζωῆς τοῦ ἀρνίου, τοῦ ἀπὸ καταβολῆς κόσμου προορισθέντος σφαγῆ-

ναι δι' ἡμᾶς· οὗτοί γαρ τὸν τῆς δουλείας ζυγὸν εὐχαρίστως διὰ τὸν Κύριον ὑπεισελθόντες εἰσίν· ἀλλὰ προσκυνήσουσιν αὐτῷ οἱ ὁλοψύχῳ νεύσει τοῖς ὀλεθρίοις αὐτοῦ βουλεύμασι συμπράττοντες. Τίνες δὲ οὗτοι; οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς. Ὅστις οὖν ἔχει καρδίαν δεκτικὴν τῶν θείων λόγων, καὶ προαίρεσιν ὑπακουστικὴν πρὸς κατόρθωσιν τῆς ἀρετῆς, συνήσει καλῶς τοὺς λόγους τῆς Ἀποκαλύψεως.

10 Εἴ τις αἰχμαλωσίαν συνάγει, εἰς αἰχμαλωσίαν ὑπάγει· εἴ τις ἐν μαχαίρᾳ ἀποκτενεῖ, δεῖ αὐτὸν ἐν μαχαίρᾳ ἀποκτανθῆναι· ὧδέ ἐστιν ἡ ὑπομονὴ καὶ ἡ πίστις τῶν ἁγίων.

Ἐνταῦθα δηλοῦται τὸ τέλος καὶ ἡ ἀνταπόδοσις τῶν ἀδικησάντων, ὅτι δώσουσι δίκας, καὶ ὑποστήσονται ποινὰς καθ' ὅσα ἔπραξαν εἰς ἄλλους· αἰχμαλωτισθήσονται δηλαδὴ καὶ σφαγήσονται, ὃν τρόπον καὶ αὐτοὶ ᾐχμαλώτευσαν καὶ ἀπέκτειναν τοὺς εὐσεβεῖς. Καὶ ταύτην τὴν ἐκδίκησιν ἰδόντες οἱ δίκαιοι εὐφρανθήσονται, εὐελπέστεροι γενόμενοι πρὸς ὃν λήψονται μισθὸν τῆς πίστεως καὶ ὑπομονῆς.

11 Καὶ εἶδον ἄλλο θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, καὶ εἶχε κέρατα δύο ὅμοια ἀρνίῳ, καὶ ἐλάλει ὡς δράκων.

12 Καὶ τὴν ἐξουσίαν τοῦ πρώτου θηρίου πᾶσαν ποιεῖ ἐνώπιον αὐτοῦ, καὶ ποιεῖ τὴν γῆν καὶ τοὺς κατοικοῦντας ἐν αὐτῇ ἵνα προσκυνήσωσι τὸ θηρίον τὸ πρῶτον, οὗ ἐθεραπεύθη ἡ πληγὴ τοῦ θανάτου αὐτοῦ.

13 **Κ**αὶ ποιεῖ σημεῖα μεγάλα, ἵνα καὶ πῦρ ποιῇ
καταβαίνειν ἐκ τοῦ οὐρανοῦ εἰς τὴν γῆν, ἐνώπιον
τῶν ἀνθρώπων.

14 **Κ**αὶ πλανᾷ τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς
διὰ σημεῖα, ἃ ἐδόθη αὐτῷ ποιῆσαι ἐνώπιον τοῦ θη-
ρίου, λέγων τοῖς κατοικοῦσιν ἐπὶ τῆς γῆς ποιῆ-
σαι εἰκόνα τῷ θηρίῳ, ὃ ἔχει τὴν πληγὴν τῆς μα-
χαίρας, καὶ ἔζησε.

15 **Κ**αὶ ἐδόθη αὐτῷ δοῦναι πνεῦμα τῇ εἰκόνι τοῦ
θηρίου, ἵνα καὶ λαλήσῃ ἡ εἰκὼν τοῦ θηρίου, καὶ
ποιήσῃ, ὅσοι ἂν μὴ προσκυνήσωσι τὴν εἰκόνα τοῦ
θηρίου, ἵνα ἀποκτανθῶσι.

16 **Κ**αὶ ποιεῖ πάντας τοὺς μικροὺς καὶ τοὺς με-
γάλους, καὶ τοὺς πλουσίους καὶ τοὺς πτωχούς, ἵνα
δώσῃ αὐτοῖς χάραγμα ἐπὶ τῆς χειρὸς αὐτῶν τῆς
δεξιᾶς, ἢ ἐπὶ τῶν μετώπων αὐτῶν.

17 **Κ**αὶ ἵνα μή τις δύνηται ἀγοράσαι ἢ πωλῆσαι,
εἰ μὴ ὁ ἔχων τὸ χάραγμα, ἢ τὸ ὄνομα τοῦ θηρίου,
ἢ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ.

18 **Ω**δε ἡ σοφία ἐστίν· ὁ ἔχων τὸν νοῦν, ψηφι-
σάτω τὸν ἀριθμὸν τοῦ θηρίου· ἀριθμὸς γὰρ ἀνθρώ-
που ἐστί· καὶ ὁ ἀριθμὸς αὐτοῦ χξς.

Ἐνταῦθα ὑπογράφει ὁ Εὐαγγελιστὴς τὸν ἐλεύσεσθαι προσδοκώμενον ἀντίχριστον, περὶ οὗ τινες μὲν ὑπειλήφασιν εἶναι διάβολον ἀνθρωπίνῃ ἰδέᾳ μεμορφωμένον· ἀλλ οὐχ οὕτως ἔχει· διὸ ὁ Εὐαγγελιστὴς ταύτην τὴν ὑπόνοιαν ἀνασκευάζει ἐν τῷ λέγειν· τὸ θηρίον ἀναβαῖνον ἐκ τῆς γῆς, ὑπεμφαίνων, ὅτι τὸ θηρίον τοῦτο τὴν γέννησιν καὶ τὴν ἀνατροφὴν ἐν τῇ γῇ ἔσχηκεν, ὡς καὶ οἱ λοιποὶ τῶν ἀνθρώπων. Θηρίον δὲ καλεῖται διὰ τὸ ἄγριον, θηρευτικὸν ὁρμητικόν τε καὶ σπαρακτικὸν αὐτοῦ. Κέρατα δὲ δύο, τὰ ὅμοια τῷ ἀρνίῳ, εἰσὶν ἡ πρᾳότης καὶ ταπείνωσις, ἃς ὁ ἀντίχριςος προσποιήσεται ἐν τῇ ἀρχῇ τῆς αὐτοῦ ἐμφανείας, ἵνα πλανήσῃ διὰ τῶν τοιούτων τοὺς ἀνθρώπους, ὅτι οὗτός ἐστι τὸ ἀρνίον τὸ ἄκακον ὁ Χριστὸς, ὁ διὰ πρᾳότητος καὶ ταπεινώσεως κερατίσας καὶ καταπαλαίσας τὸν κόσμον καὶ τὸν κοσμοκράτορα. Διὸ ἀσφαλιζόμενος ἡμᾶς ὁ Κύριος ἔλεγε· «Βλέπετε μὴ πλανηθῆτε· πολλοὶ γὰρ ἐλεύσονται ἐπὶ τῷ ὀνόματί μου, λέγοντες, ὅτι ἐγώ εἰμι ὁ Χριστὸς, καὶ ὁ καιρὸς ἤγγικε, μὴ οὖν πορευθῆτε ὀπίσω αὐτῶν» (1). Καὶ ταῦτα μὲν καθ' ὑπόκρισιν ἐπιδείξεται· τὰ δὲ λόγια αὐτοῦ ῥήματα ἔσονται δράκοντος, ἤτοι βλασφημίαι κατὰ τοῦ Θεοῦ, αἷς κέχρηται ὁ διάβολος. Τὸ δὲ θηρίον τυραννήσει καὶ καταδυναστεύσει τοὺς εὐσεβεῖς, ὡς καὶ οἱ πρὸ αὐτοῦ τύραννοι, καὶ πλανήσει πολλοὺς οὐ τῶν θεοφρόνων, ἀλλὰ τῶν εὐσεβεῖν μὲν δοκούντων, κατοικεῖν δὲ ἐν τῇ γῇ λεγομένων, τουτέστι τῶν προστετηκότων τοῖς γηΐνοις· τοὺς τοιούτους ἐπισπάσεται εἰς ἀσέβειαν, ὃν τρόπον καὶ οἱ πρὸ αὐτοῦ τύραννοι πολλὺς ἀπὸ τῆς εὐσεβείας ὑπεσκέλισαν, πείσαντες αὐτοὺς προσκυνεῖν τῷ διαβόλῳ. Καὶ ὥσπερ οἱ ἄγγελοι χαίρουσιν ἐπὶ τῇ μετανοίᾳ ἑνὸς ἁμαρτωλοῦ, τοσοῦτον καὶ ὁ διάβολος ἐπιτέρπεται τῇ ἐκπτώσει ἑνὸς εὐσεβοῦς, καὶ θεραπεύεται ἡ πληγὴ αὐτοῦ, ἣν ἐπλήγη πρό-

(1) Λουκ. κά, 8.

τερον ἰδὼν αὐτὸν θεοσεβοῦντα. Τὴν δὲ ἀπάτην τοῖς εὐσεβέσι προσοίσει τότε ὁ ἀντίχριστος διὰ σημείων καὶ τεράτων, γοητείαις καὶ μαγείαις τετεχνουργημέναις, καὶ τῇ δυνάμει τοῦ διαβόλου ἐῤῥαδιουργημέναις. Τὸ δὲ χάραγμα τὸ ἐπὶ τῆς δεξιᾶς χειρὸς αὐτῶν, ἢ ἐπὶ τῶν μετώπων διδόμενον, ὅ τε ἀριθμὸς τοῦ ὀνόματος τοῦ θηρίου ὁ ἑξακόσια ἑξήκοντα ἕξ, τῷ μὲν Εὐαγγελιστῇ σεσίγηται, ἴσως διὰ τὸ μὴ λυσιτελεῖν τοὺς ἀκούοντας τὴν ἐκείνων γνῶσιν, εἰ δέ τισι τῶν διδασκάλων ἡρμήνευται, παρ' ἐκείνων τὴν ἑρμηνείαν ζητησάτωσαν οἱ φιλοπράγμονες.

## ΚΕΦΑΛΑΙΟΝ ΙΔ΄.

1 Καὶ εἶδον, καὶ ἰδοὺ ἀρνίον ἑστηκὸς ἐπὶ τὸ ὄρος Σιὼν, καὶ μετ' αὐτοῦ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, ἔχουσαι τὸ ὄνομα τοῦ πατρὸς αὐτοῦ, ἐπὶ τῶν μετώπων αὐτῶν.

Ἀρνίον πολλάκις ἔφημεν εἶναι τὸν ἀμνὸν τοῦ Θεοῦ, τὸν διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων τυθέντα Ἰησοῦν Χριστόν. Ὄρος δὲ Σιὼν λέγεται ἥ τε ἁγία Ἐκκλησία, διὰ τὸ μετάρσιον τῶν δογμάτων αὐτῆς, καὶ ὁ οὐρανὸς τὸ τῶν δικαίων ψυχῶν κατοικητήριον. Ταῦτα ὄρει Σιὼν, καὶ πόλει Ἱερουσαλὴμ παρεικάζει καὶ ὁ Ἀπόστολος Παῦλος, λέγων· «Προσεληλύθατε ὄρει Σιὼν, καὶ Ἱερουσαλὴμ πόλει Θεοῦ ζῶντος» (1)· ὡς καὶ πρὸ αὐτοῦ οἱ ἅγιοι Προφῆται προηγόρευσαν. Ὡράθη οὖν ὁ Κύριος ἑστὼς ἐπὶ τὸ ὄρος Σιών· ὑπαινίττεται δὲ διὰ τούτου ἡ Ἀποκάλυψις, ὅτι τῶν Ἰου-

(1) Ἑβρ. ιβ΄, 22.

δαίων οἵτινες σέβονται τὸ ὄρος Σιὼν, καὶ πατρίδα αὐτῶν τὴν Ἰερουσαλὴμ ἐπικαλοῦνται, λαὸς πολὺς πιστεύσουσιν εἰς Χριστὸν ἐν τοῖς ἐσχάτοις καιροῖς, ὡς μαρτυρεῖ καὶ Παῦλος ὁ Ἀπόστολος, ὅτι μετὰ τὸ εἰσελθεῖν τὰ ἔθνη εἰς τὴν τοῦ Χριστοῦ πίστιν, τότε εἰσελεύσεται καὶ ὁ Ἰσραὴλ, εἰσάγων μάρτυρα καὶ τὸν Προφήτην Ἡσαΐαν εἰπόντα· «Ἐὰν ᾖ ὁ ἀριθμὸς τοῦ Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα αὐτοῦ σωθήσεται» (1). Καὶ ὁ Ψαλμῳδός· «Ὅτι θήσεις αὐτοὺς νῶτον ἐν τοῖς περιλοίποις σου» (2). Τότε δὴ ὀφθήσεται ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἑστὼς ἐν μέσῳ αὐτῶν, συναριθμηθέντων τῇ τοῦ Χριστοῦ Ἐκκλησίᾳ, καὶ οἰκητόρων τοῦ οὐρανοῦ γενομένων, καὶ ἐνοικήσει αὐτοῖς διὰ τὸ ἔχειν αὐτοὺς τὸ ὄνομα αὐτοῦ, καὶ τὸ ὄνομα τοῦ Πατρὸς αὐτοῦ γεγραμμένον ἐπὶ τῶν μετώπων αὐτῶν, καὶ οἱονεὶ ᾀδόντων τὸ, Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε. Ὁ δὲ ἀριθμὸς τῶν ἑκατὸν τεσσαράκοντα τεσσάρων χιλιάδων οὐ δηλοῖ, ὅτι τοσοῦτοι μόνον οἱ ἐκ τῶν Ἰουδαίων εἰς Χριστὸν πιστεύσαντες, ἀλλ' ὅτι ὁ χίλια ἀριθμὸς ἐντελέστατός ἐςιν, ὡς περιέχων ἐν αὐτῷ πάντα τὰ τῶν ἀριθμῶν διαστήματα, ἤτοι μονάδας δεκάδας καὶ ἑκατοντάδας. Ἕκαστος οὖν τῶν δώδεκα Ἀποστόλων, τῶν αὐτοὺς εἰς τὴν εὐσέβειαν ἀγαγόντων, ἐντελεστάτην προθυμίαν καταβαλὼν εἰς τὸ κήρυγμα τοῦ Εὐαγγελίου, οὐ μόνον τὴν ἐκ τῆς οἰκείας σπουδῆς τελειότητα τῶν πιστευόντων ἐκαρπώσατο, ἀλλὰ διὰ τῆς ὁμοφώνου συνεργείας, καὶ τῆς τοῦ ἀποστείλαντος αὐτοὺς ἀντιλήψεως, ὁ εἷς αὐτῶν τὴν ἐκ τῆς ἁπάντων τῶν λοιπῶν συναποστόλων αὐτοῦ σπουδῆς τελειότητα συνήγαγε· δωδεκάκις γὰρ τὰ δώδεκα τὸν ἑκατὸν τεσσαράκοντα τέσσαρα συνάγει ἀριθμόν.

2 Καὶ ἤκουσα φωνὴν ἐκ τοῦ οὐρανοῦ, ὡς φω-

(1) Ρωμ. ιά, 25, 26. (2) Ψαλμ. κ', 13.

νὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῆς μεγάλης· καὶ φωνὴν ἤκουσα κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν.

3 Καὶ ᾄδουσιν ὡς ᾠδὴν καινὴν ἐνώπιον τοῦ θρόνου, καὶ ἐνώπιον τῶν τεσσάρων ζώων, καὶ τῶν πρεσβυτέρων, καὶ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδὴν, εἰμὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς.

4 Οὗτοί εἰσιν οἱ μετὰ γυναικῶν οὐκ ἐμολύνθησαν· παρθένοι γάρ εἰσιν· Οὗτοί εἰσιν οἱ ἀκολουθοῦντες τῷ ἀρνίῳ, ὅπου ἂν ὑπάγῃ. Οὗτοι ἠγοράσθησαν ἀπὸ τῶν ἀνθρώπων ἀπαρχὴ τῷ Θεῷ καὶ τῷ ἀρνίῳ.

5 Καὶ ἐν τῷ στόματι αὐτῶν οὐχ εὑρέθη δόλος· ἄμωμοι γάρ εἰσιν ἐνώπιον τοῦ θρόνου τοῦ Θεοῦ.

Τῶν οὐρανοφρόνων ἀνθρώπων ἡ ὑμνῳδία καὶ εἰς Θεὸν δοξολογία, ὡς φωνὴ ὑδάτων ἠκούσθη· κατὰ γὰρ τὸ κυριακὸν λόγιον· «Πᾶς ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω (τουτέστι τῆς διδασκαλίας), οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα» (1)· ἡ δὲ φωνὴ ὡς ὑδάτων οὐκ ὀλίγων, ἀλλὰ πολλῶν· αὐτὸς γὰρ εἴρηκεν· «Ὁ πιστεύων εἰς ἐμὲ ποταμοὶ ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ὕδατος

(1) Ἰωαν. δ', 14.

ζῶντος» (1). Ἡ αὐτὴ φωνὴ καὶ ὡς βροντὴ ἠκούσθη μεγάλη· ὥσπερ γὰρ ἡ βροντὴ ἀπὸ τῶν ἐκ γῆς μετεωρουμένων νεφῶν ῥήγνυται, οὕτω καὶ ἡ ἀκουσθεῖσα ὑμνῳδία ἠκούσθη ἐκ τῶν δικαίων πνευμάτων, τῶν ἀπὸ τῶν γηίνων εἰς μετάρσιον ὕψος ἀρετῆς ἀναδραμόντων, καὶ ὡς νέφη συσταθέντων. Τούτων εἰκότως ἡ ὑμνῳδία, ὡς βροντὴ πρόεισιν, ἀκουστὴ δηλαδὴ καὶ περιβόητος, καὶ ὡς μέλος κιθαρῳδῶν κιθαριζόντων ἐν ταῖς κιθάραις αὐτῶν, τουτέστιν ἐν ἁρμανίᾳ καὶ συμφωνίᾳ, ὡς ἔχουσα τὰς σωματικὰς αἰσθήσεις τῶν ᾀδόντων, ταῖς ψυχικαῖς αὐτῶν δυνάμεσι συνηχούσας, καὶ διὰ τοῦτο τερπνοτάτην καὶ θεάρεστον μελῳδίαν ἀποτελοῦσα. Καινὴ δὲ λέγεται αὕτη ἡ ὑμνῳδία, τουτέστι θαυμαστὴ καὶ ξένη τῶν κοσμικῶν ᾠδῶν. Αὕτη λέγεται ᾄδεσθαι ἐνώπιον μὲν τοῦ θρόνου, διὰ τὸ εὐπρόσδεκτον εἶναι παρὰ τῷ Θεῷ καὶ εὐάκουστον· ἐνώπιον δὲ καὶ τῶν τεσσάρων ζώων καὶ τῶν πρεσβυτέρων, διά τε ἣν ἐκτήσαντο παῤῥησίαν, καὶ δι' ἣν ἐμιμήσαντο ἀγγελικὴν καθαρότητα· ἔτι δὲ καὶ διὰ τὴν πρεσβυτικὴν ἐν αὐτοῖς φρόνησιν. Τὸ δὲ οὐδεὶς ἠδύνατο μαθεῖν τὴν ᾠδὴν, εἰμὴ αἱ ἑκατὸν τεσσαράκοντα τέσσαρες χιλιάδες καὶ τὰ λοιπὰ, σημαίνει ὅτι ἐπειδὴ τὰ ἀποκείμενα τοῖς δικαίοις ἀγαθὰ ἀνέκφραστά εἰσι καὶ ἀνεκλάλητα, διὰ τοῦτο καὶ ἡ παρ' αὐτῶν δοξολογία τοῦ Θεοῦ καὶ εὐχαριστία ἀνέκφραστός ἐστι, καὶ οὐδεὶς τῶν σάρκα φορούντων, οὐδὲ τῶν τὰ τοῦ κόσμου φρονούντων, δύναται εἰδέναι ταύτην, εἰμὴ οἱ καταξιωθέντες δι' ἀρετὴν καὶ καθαρότητα τῶν αἰωνίων ἀγαθῶν ἐπιτυχεῖν, οἱ ἠγορασμένοι ἀπὸ τῆς γῆς, τουτέστιν οἱ μᾶλλον τῶν γηίνων ὑπεραγαπήσαντες τὸν Χριστὸν, τὸν ἐξαγοράσαντα ἡμᾶς τῷ ἰδίῳ αἵματι. Τὸ δὲ, οὗτοί εἰσιν οἳ μετὰ γυναικῶν οὐκ ἐμολύνθηταν· παρθένοι γάρ εἰσι, κ. τ. λ. οὐ τὸν νόμιμον γάμον διαβάλλει· «Τίμιος γὰρ ὁ γάμος καὶ ἡ κοίτη ἀμίαντος» (2) κατὰ τὸν Ἀπόστολον, ἀλλὰ τὸν ἐκ τῆς ἀ-

(1) Ἰωαν. ζ', 83. (2) Ἑβρ. ιγ', 4.

σελγείας μολυσμὸν ἀποτρέπει. Ἔτι δὲ διὰ τούτου τοῦ λόγου καὶ τὴν παρθενίαν προτιμᾷ τοῦ γάμου.

6 Καὶ εἶδον ἄλλον ἄγγελον πετώμενον ἐν μεσουρανήματι, ἔχοντα εὐαγγέλιον αἰώνιον, εὐαγγελίσαι τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς, καὶ πᾶν ἔθνος καὶ φυλὴν καὶ γλῶσσαν καὶ λαόν.

7 Λέγοντα ἐν φωνῇ μεγάλῃ· Φοβήθητε τὸν Θεὸν, καὶ δότε αὐτῷ δόξαν, ὅτι ἦλθεν ἡ ὥρα τῆς κρίσεως αὐτοῦ· καὶ προσκυνήσατε τῷ ποιήσαντι τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πηγὰς ὑδάτων.

Τὸ ἵπτασθαι τὸν ἄγγελον ἐν μεσουρανήματι σημαίνει τὸ ὕψος τῶν τοῖς δικαίοις παρ' αὐτοῦ εὐαγγελιζομένων. καὶ τὸ μετάρσιον τῆς δόξης τοῦ ἐρχομένου κρῖναι λαοὺς ἐν εὐθύτητι, καὶ τὸ ἐγγὺς γενέσθαι τὴν πρὸς τὸ κρῖναι ἔλευσιν αὐτοῦ. Ὅπερ εὐαγγέλιον μὲν ὀνομάζει, ὡς ἀπὸ τοῦ ἱεροῦ Εὐαγγελίου προκηρυττόμενον· «Ὄψονται γάρ φησι, τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐπὶ τῶν νεφελῶν μετὰ δυνάμεως καὶ δόξης πολλῆς» (1)· καὶ διότι εὐαγγελίζεται τοῖς δικαίοις ἄνεσιν καὶ μισθοὺς ἀπείρους, ἀνθ' ὧν ἐν γῇ κεκοπιάκασι καὶ ὑπὲρ Χριστοῦ ἐκακοπάθησαν. Αἰώνιον δὲ, ὅτι τὰ εὐαγγελιζόμενα ἦν προητοιμασμένα πρὸ αἰώνων, καὶ τὰ δωρηθησόμενα αὐτοῖς ἀγαθὰ ἔσεται αἰώνια τοῖς ἀξιουμένοις τούτων, καὶ εὐαρεστήσασι τῷ Θεῷ ἀπὸ παντὸς ἔθνους, καὶ γλώσσης, καὶ φυλῆς. Τὸ δὲ φοβήθητε τὸν Θεὸν, τοῖς

(1) Ματθ. κδ', 30

ἁγίοις λεγόμενον, ὑπεμφαίνει ἡμῖν, ὅτι τοσοῦτον φοβερὰ ἔσται ἡ ὥρα τῆς κρίσεως, ὥστε καταπλῆξαι καὶ ἐκδειματῶσαι καὶ τοὺς δικαίους. Καὶ ταῦτα μὲν ὁ τοὺς δικαίους εὐαγγελιζόμενος ἄγγελος. Ὁ δὲ τοῖς ἁμαρτωλοῖς τὰ δεινὰ ἀπειλῶν, ὁποῖος;

8 Καὶ ἄλλος ἄγγελος ἠκολούθησε, λέγων· Ἔπεσεν ἔπεσε Βαβυλὼν ἡ πόλις ἡ μεγάλη, ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πεπότικε πάντα τὰ ἔθνη.

Τὸ ἠκολούθησεν, ἐνταῦθα λεγόμενον, σημαίνει ὅτι μετὰ τὰς ἐπαγγελίας τῶν δικαίων, παραυτίκα ἐφεξῆς τε καὶ συνεχεῖς αἱ τῶν ἁμαρτωλῶν ἀπειλαί. Βαβυλὼν δὲ, ὃ ἑρμηνεύεται σύγχυσις, τροπικῶς λέγεται ὁ παρὼν κόσμος, διὸ καὶ πόλις μεγάλη εἴρηται· πολλὴ γὰρ σύγχυσις ἐν αὐτῷ καὶ ταραχὴ, καὶ ποικίλα ἔθνη. Ἀναμιμνήσκει δὲ διὰ τῆς λέξεως ταύτης, καὶ ὅτι, ὥσπερ οἱ ἀπόγονοι τοῦ Νῶε ἐβουλεύσαντο ἐν Βαβυλῶνι οἰκοδομῆσαι πῦργον, καὶ ἐπιμελῶς μὲν κεκοπιάκασιν εἰς τὴν τούτου ἀνέγερσιν, ἐματαιώθησαν μέντοι, καὶ ἀνωφελὴς ἐγένετο ἡ τούτων κενοσπουδία, καὶ οὐδὲν ἐκ τούτου ἀπώναντο, ἢ μετάμελον, οὕτω καὶ οἱ τὰ τοῦ κόσμου οἰκοδομῆσαι καὶ ἀνεγεῖραι σπουδάζοντες, ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος ματαιωθήσονται, καὶ ἡ μέριμνα αὐτῶν καὶ ὁ κόπος αὐτῶν εἰς τὸ οὐδὲν χωρήσει, μηδενὸς τῶν σπουδασμάτων αὐτοῖς ἀπολειφθέντος, πλὴν τῆς μεταμελείας, ἐφ᾿ οἷς ματαίως καὶ ἐπὶ ματαίοις κεκοπιάκασι. Καὶ τὸ πεῖραν λαβεῖν καὶ πιεῖν τὸν οἶνον τῆς θείας ὀργῆς, καὶ τῆς ἐκ ταύτης κολάσεως, ὡς καταλειπόντες τὸ μετὰ Θεοῦ συνεῖναι συνεγένοντο τῷ κόσμῳ· καὶ τοῦτό ἐστιν ἡ νοητὴ πορνεία.

9 Καὶ τρίτος ἄγγελος ἠκολούθησεν αὐτοῖς λέ-

γων ἐν φωνῇ μεγάλῃ· Εἴ τις τὸ θηρίον προσκυνεῖ, καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ λαμβάνει χάραγμα ἐπὶ τοῦ μετώπου αὐτοῦ, ἢ ἐπὶ τὴν χεῖρα αὐτοῦ.

10 Καὶ αὐτὸς πίεται ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ Θεοῦ, τοῦ κεκερασμένου ἀκράτου ἐν τῷ ποτηρίῳ τῆς ὀργῆς αὐτοῦ, καὶ βασανισθήσονται ἐν πυρὶ καὶ θείῳ ἐνώπιον τῶν ἁγίων ἀγγέλων, καὶ ἐνώπιον τοῦ ἀρνίου.

11 Καὶ ὁ καπνὸς τοῦ βασανισμοῦ αὐτῶν ἀναβαίνει εἰς αἰῶνας αἰώνων· καὶ οὐκ ἔχουσιν ἀνάπαυσιν ἡμέρας καὶ νυκτὸς οἱ προσκυνοῦντες τὸ θηρίον καὶ τὴν εἰκόνα αὐτοῦ, καὶ εἴ τις λαμβάνει τὸ χάραγμα τοῦ ὀνόματος αὐτοῦ.

12 Ὧδε ἡ ὑπομονὴ τῶν ἁγίων ἐστὶν, ὧδε οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ τὴν πίςιν Ἰησοῦ.

Τὸ ἠκολούθησεν, ἔφημεν, σημαίνει τὸ συνεχὲς καὶ ἀδιάκοπον τῶν πραγμάτων. ἡ δὲ, λέγειν, λέξις ἐπὶ τοῦ ἀγγέλου σημαίνει τὸ ἐκφαίνειν τὰ πράγματα καὶ ἀποκαλύπτειν τὰ κεκρυμμένα. Τὸ δὲ, φωνῇ μεγάλῃ, τὴν εἴσδυσιν τῶν λεγομένων, καὶ εἰσχώρησιν εἰς τὰ ὦτα τῶν ἀκουόντων, καὶ εἰς τὰς διανοίας αὐτῶν, καὶ τὴν ἐκ τῶν δηλουμένων ἔκπληξιν. Θηρίον δέ ἐστιν ὁ ἀντίχριστος· ἡ δὲ προσκύνησις αὐτοῦ ἐστιν ἡ ὑποταγὴ, καὶ τὸ πεισθῆναι ταῖς φθοροποιαῖς αὐτοῦ θελήσεσιν. Εἰκὼν δὲ τοῦ θη-

ρίου, ὁ ὁμοιωθεὶς αὐτῷ κατὰ τὴν κακὴν πρᾶξιν καὶ τὴν ἄθεσμον πολιτείαν. Ἔτι δὲ εἰκὼν αὐτοῦ λέγεται καὶ ὁ παρ' αὐτοῦ ἀποσταλεὶς, οἱονεὶ πρόσωπον καὶ εἰκόνα ἐκείνου ἐπιφέρων. Λαμβάνει δὲ τὸ χάραγμα τοῦ θηρίου ἐπὶ μὲν τοῦ μετώπου, ὁ κατὰ διάνοιαν τὰ πονηρὰ αὐτοῦ δόγματα λαμβάνων (ἐκ τοῦ μετώπου γὰρ τὸ διανοητικόν)· ἐπὶ δὲ τὴν χεῖρα ὁ τὰ πονηρὰ αὐτοῦ θελήματα διὰ πράξεως ἐκτελῶν (ἡ γὰρ χεὶρ πράξεως ὄργανον). Ὁ τοιοῦτος τοιγαροῦν πίεται καὶ πλησθήσεται ἐκ τοῦ οἴνου, οὐ τοῦ διδόντος εὐφροσύνην καὶ ἀγαλλίασιν εἰς τὴν καρδίαν, οὐδὲ ποτήριον σωτηρίου, ἀλλ' ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ Θεοῦ, τοῦ μεθύοντος καὶ ἐξιστῶντος τοὺς πίνοντας, περὶ οὗ ἔφη ὁ Ψαλμῳδός· «Ποτήριον ἐν χειρὶ Κυρίου οἴνου ἀκράτου, καὶ τὰ ἑξῆς» (1), τοῦ ζάλην καὶ κεφαλαλγίαν ἐμποιοῦντος τοῖς ἁμαρτωλοῖς, ὅστις καὶ ἄκρατος εἴρηται· ἐν γὰρ τῷ παρόντι κόσμῳ τά τε χαρμόσυνα καὶ τὰ λυπηρὰ κεκραμένα εἰσὶ, καὶ οὐδὲν τούτων ἄνευ τῆς θατέρου συμμίξεως γίνεται, διὰ τὸ εἶναι τὸν παρόντα βίον ἐν τροπῇ καὶ μεταπλασμῷ· διὸ οὐδὲν εὐφρόσυνον ἀμιγὲς λύπης, οὐδὲ λυπηρὸν ἀμιγὲς παραμυθίας. Ἐν δὲ τῷ μέλλοντι αἰῶνι, ἀτρέπτῳ καὶ ἀμεταβλήτῳ ὑπάρχοντι, τὰ μὲν εὐφρόσυνα τοῖς δικαίοις ἀνεπίμικτα λύπης· ἐκεῖθεν γὰρ ἀπέδρα ὀδύνη λύπη καὶ στεναγμός. Καὶ Ἠσαΐας φησίν· «Εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν» (2). Τὰ δὲ λυπηρὰ καὶ ὀδυνηρὰ ὡσαύτως ἀνεπίμικτα καὶ ἄκρατα τοῖς ἁμαρτωλοῖς. Ἐκ τούτου τοιγαροῦν τοῦ ποτηρίου τῆς ὀργῆς τοῦ Κυρίου, τοῦ κεκερασμένου, ἤτοι πεπληρωμένου καὶ ἀνελλιποῦς, πίεται ὁ τὸ χάραγμα τοῦ θηρίου δεξάμενος, ὃς καὶ βασανισθήσεται ἐν πυρὶ καὶ θείῳ· πυρὶ μὲν, ἤτοι ἐν καύσει καὶ φλογὶ, θείῳ δὲ, ἤτοι ἐν διαμονῇ τῆς καύσεως. Καπνὸν δὲ τοῦ βασανισμοῦ αὐτῶν ἀναβαίνοντα νοητέον τὸ σκότος τὸ ἐξώτερον, καὶ τὰς καπνώδεις ἀναπνοὰς τοῦ στεναγμοῦ

---

(1) Ψαλμ. οδ', 9. (2) Ἠσ. λε', 10.

τῶν βασανιζομένων ἐν τῇ κολάσει καὶ τὰς καταχραυγὰς αὐτῶν. Λέγονται δὲ οἱ ἁμαρτωλοὶ βασανίζεσθαι ἐνώπιον τῶν ἁγίων ἀγγέλων, καὶ ἐνώπιον τοῦ ἀρνίου· τῶν μὲν ἀγγέλων, ὅτι ἐν τῷ παρόντι βίῳ οἱ ἄγγελοι ἐφρούρουν αὐτοὺς, καὶ πρὸς γνῶσιν τῆς ἀληθείας ἐχειραγώγουν, αὐτοὶ δὲ ἠπείθουν· τοῦ δὲ ἀρνίου, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ, ὡς ἀρνίον παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς θάνατον, οἱ δὲ ἁμαρτωλοὶ οὐδένα λόγον τούτου πεποιήκασι. Τὸ δὲ λέγειν, ὧδε ὑπομονὴ τῶν ἁγίων ἐστὶν, ὧδε οἱ τηροῦντες τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ τὴν πίστιν Ἰησοῦ· σημαίνει ὅτι οἱ ἅγιοι ταῦτα τὰ τοῖς δικαίοις ἀποκείμενα ἀγαθὰ, καὶ τὰ τοῖς ἁμαρτωλοῖς ἡτοιμασμένα δικαιωτήρια ἀναλογιζόμενοι, καὶ κατὰ διανοίας ἔχοντες, τηροῦσι καὶ πράττουσι τὰς ἐντολὰς τοῦ Θεοῦ, καὶ φυλάττουσι τὴν εἰς Χριστὸν πίστιν ἐν ταῖς ἡμέραις τῶν διωκτῶν καὶ τυράννων. Συνάπτει δὲ ἡ Ἀποκάλυψις τὰς ἐντολὰς τοῦ Θεοῦ τῇ πίστει τοῦ Ἰησοῦ, δηλοῦσα διὰ τούτου, ὅτι ὁ Υἱὸς τοῦ Θεοῦ εἰδὼς τὴν ἀνθρωπίνην φύσιν ἀδυνάτως ἔχουσαν περὶ τὴν ἐντελῆ φύλαξιν τῶν ἐντολῶν, προσελάβετο ταύτην καὶ ἥνωσε τῇ αὐτοῦ θεότητι, καὶ διὰ τῆς ἑνώσεως ταύτης ἐδωρήσατο αὐτῇ δύναμιν πρὸς τὸ τηρεῖν τὰς ἐντολάς.

13 Καὶ ἤκουσα φωνῆς ἐκ τοῦ οὐρανοῦ λεγούσης μοι· Γράψον, Μακάριοι οἱ νεκροὶ οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες ἀπάρτι· Ναὶ, λέγει τὸ πνεῦμα, ἵνα ἀναπαύσωνται ἐκ τῶν κόπων αὐτῶν· τὰ δὲ ἔργα αὐτῶν ἀκολουθεῖ μετ' αὐτῶν.

Τουτέστι τὸ Πνεῦμα τὸ ἅγιον ἐκ τοῦ οὐρανοῦ προσέταξέ με γράψαι καὶ διασαφῆσαι τὴν εὐδαιμονίαν καὶ μακαριότητα, ἣν ἀπολήψονται οἱ νεκροὶ οἱ ἐν Κυρίῳ ἀποθνήσκοντες, τουτέστιν, οἱ ἐν τῷ παρόντι κόσμῳ νεκρώσαντες ἑαυτοὺς δι' ἐγκρατείας, καὶ οἱ

διὰ μαρτυρικοῦ θανάτου τελειωθέντες ὑπὲρ Χριστοῦ, ἵνα παύσωνται ἐκ τῶν κόπων αὐτῶν· τὰ δὲ ἔργα αὐτῶν ἀκολουθεῖ μετ' αὐτῶν· ἡ μὲν γὰρ ὁδὸς τῶν ἀσεβῶν ἀπολεῖται, τὰ δὲ ἔργα τῶν δικαίων συνδιαμένει αὐτοῖς εἰς ἅπαντα τὸν αἰῶνα.

14 Καὶ εἶδον, καὶ ἰδοὺ νεφέλη λευκὴ, καὶ ἐπὶ τὴν νεφέλην καθήμενος ὅμοιος υἱῷ ἀνθρώπου, ἔχων ἐπὶ τῆς κεφαλῆς αὐτοῦ στέφανον χρυσοῦν, καὶ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον ὀξύ.

Λευκὴν νεφέλην νοητέον τὰς μεταρσίους ἀγγελικὰς δυνάμεις, τὰς ἀπὸ τῆς ὑλικῆς περιπετείας ἀπηλλαγμένας, καὶ εὐσταλεῖς πρὸς ἐκτέλεσιν τῶν διακονημάτων αὐτῶν, καὶ λευκὰς διὰ τὴν καθαρότητα, ἐφ' αἷς ὥσπερ ὀχήματι ἐποχούμενος ἐλεύσεται ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ ὁ Κύριος ἡμῶν, ὡς αὐτὸς ἐν Εὐαγγελίοις εἴρηκε· καὶ ὃν τρόπον ἐθεάσαντο αὐτὸν οἱ μαθηταὶ ἀνερχόμενον εἰς τὸν οὐρανὸν, ὅτε καὶ παρὰ τῶν ἀγγέλων ἐμνήσθησαν, ὅτι οὕτως ἐλεύσεται πάλιν. Ὁ δὲ ἐπὶ τῆς κεφαλῆς τοῦ καθημένου ἐπὶ τὴν νεφέλην χρυσοῦς στέφανος σημαίνει ὅτι ὁ βασιλεὺς τῶν βασιλέων ἐστί. Τὸ δὲ ἐν τῇ χειρὶ αὐτοῦ δρέπανον, τὴν συντέλειαν τοῦ κόσμου, καὶ τὸν θερισμὸν τῶν ἀνθρωπίνων ἀγρῶν.

15 Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ, κράζων ἐν μεγάλῃ φωνῇ τῷ καθημένῳ ἐπὶ τῆς νεφέλης· Πέμψον τὸ δρέπανόν σου, καὶ θέρισον· ὅτι ἦλθέ σοι ἡ ὥρα τοῦ θερίσαι· ὅτι ἐξηράνθη ὁ θερισμὸς τῆς γῆς.

Τὸ ἐξελθεῖν τὸν ἄγγελον ἐκ τοῦ ναοῦ, καὶ κράζειν ἐν φωνῇ

μεγάλῃ καὶ ζητεῖν τὴν πέμψιν τοῦ δρεπάνου καὶ τὸν θερισμὸν, ἐμφαίνει ὅτι οἱ ἅγιοι ἄγγελοι μετὰ πόθȣ καὶ προθυμίας ζητοῦσι δοθῆναι τὰς ἀμοιβὰς τοῖς δικαίοις, ἀνθ' ὧν ἔζησαν ἐν καθαρότητι ἐπὶ τῆς γῆς θεοφιλῶς, καὶ ἐπολιτεύσαντο ποιοῦντες τὰ θελήματα τοῦ Θεοῦ, ὡς οἱ ἄγγελοι· τήν τε ἐκδίκησιν καὶ ἄμυναν κατὰ τῶν πονηρῶν. Ἡ δὲ ἡμέρα τῆς συντελείας παρείκασται τῷ θέρει, καθὼς αὐτὸς ὁ Κύριος ἐν Εὐαγγελίοις εἴρηκεν. Ὥσπερ γὰρ ἐν τῷ θερισμῷ, τὸν μὲν σῖτον εἰς τὰς ἀποθήκας ταμιεύȣσι, τὰ δὲ ἄχρηστα χόρτα καὶ τὰ ζιζάνια πυρὶ παραδίδονται, οὕτω καὶ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος, οἱ μὲν τὰ θεάρεστα ἔργα καρποφορήσαντες ἐν ταῖς οὐρανίαις ἀποθήκαις ἀποτίθενται· οἱ δὲ ἄχρηστοι καὶ βλαβεροὶ τοῖς ἄλλοις πυρὶ τῷ αἰωνίῳ παραδίδονται.

16 Καὶ ἔβαλεν ὁ καθήμενος ἐπὶ τὴν νεφέλην τὸ δρέπανον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ ἐθερίσθη ἡ γῆ.

17 Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ ναοῦ τοῦ ἐν τῷ οὐρανῷ, ἔχων καὶ αὐτὸς δρέπανον ὀξύ.

18 Καὶ ἄλλος ἄγγελος ἐξῆλθεν ἐκ τοῦ θυσιαστηρίου, ἔχων ἐξουσίαν ἐπὶ τοῦ πυρὸς, καὶ ἐφώνησε κραυγῇ μεγάλῃ τῷ ἔχοντι τὸ δρέπανον τὸ ὀξὺ, λέγων· Πέμψον σου τὸ δρέπανον τὸ ὀξὺ, καὶ τρύγησον τοὺς βότρυας τῆς ἀμπέλου τῆς γῆς, ὅτι ἤκμασαν αἱ σταφυλαὶ αὐτῆς.

19 Καὶ ἔβαλεν ὁ ἄγγελος τὸ δρέπανον αὐτοῦ εἰς τὴν γῆν, καὶ ἐτρύγησε τὴν ἄμπελον τῆς γῆς,

ἐπὶ τὴν θάλασσαν τὴν ὑαλίνην, ἔχοντας κιθάρας τοῦ Θεοῦ.

3 Καὶ ᾄδουσι τὴν ᾠδὴν Μωσέως τοῦ δούλου τοῦ Θεοῦ, καὶ τὴν ᾠδὴν τοῦ ἀρνίου, λέγοντες· Μεγάλα καὶ θαυμαστὰ τὰ ἔργα σου, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ· δίκαιαι καὶ ἀληθιναὶ αἱ ὁδοί σου, ὁ βασιλεὺς τῶν ἁγίων.

4 Τίς οὐ μὴ φοβηθῇ σε, Κύριε, καὶ δοξάσῃ τὸ ὄνομά σου; ὅτι μόνος ὅσιος· ὅτι πάντα τὰ ἔθνη ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου, ὅτι τὰ δικαιώματά σου ἐφανερώθησαν.

Ἐν τῇ ἀρχῇ τῆς βίβλου τῆς κοσμογονίας ὁ θεσπέσιος Μωϋσῆς ἑπτὰ ἡμέρας καταλέγει, καὶ ἐν ἑπτάδι ἡμερῶν περιελίσσεται ὁ παρὼν κόσμος, ὡς προέφημεν· διὰ τοῦτο καὶ οἱ ἐν τῷ κόσμῳ ἐμπαθῶς ζήσαντες, καὶ τὸν δημιουργὸν αὐτοῦ παροργίσαντες, ἑπτὰ πληγαῖς βασανισθήσονται, ἃς οἱ ἑπτὰ ἄγγελοι ἐπάξουσιν αὐτοῖς, ὅτι ἐν αὐτοῖς ἐτελέσθη ὁ θυμὸς τοῦ Θεοῦ, ὡς καὶ ὁ κόσμος ἐν ἑπτὰ ἡμέραις συνετελέσθη. Προσέτι τῷ ἑπταδικῷ ἀριθμῷ κέχρηται ἡ θεία Γραφὴ ἀντὶ τοῦ πολλοῦ, ὡς καὶ Σολομών φησιν· Ἐν τῇ καρδίᾳ τοῦ ἐχθροῦ ἑπτὰ κακίαι, ἀντὶ τοῦ πολλαί. Δύναται οὖν τὸ παρὸν ῥητὸν νοεῖσθαι, ὅτι οἱ τοῦ ἑπταδικοῦ κόσμου τὴν προστασίαν ἐγκεχειρισμένοι ἄγγελοι πολλὰς πληγὰς ἐποίσουσι τοῖς ἁμαρτωλοῖς. Τὴν δὲ ὑαλίνην θάλασσαν τὴν μεμιγμένην πυρὶ, νοήσεις διχῶς, ἢ τὸν παρόντα κόσμον τροπικῶς λεγόμενον δι' ἃς προειρήκαμεν αἰτίας, ὅστις ἔχει δόξας καὶ τερπνότητας

λαμπρὰς μὲν, εὐθράςους δὲ ὡς ὕελος, μεμιγμένας μέν τοι πυρί· αἱ γὰρ μέριμναι καὶ αἱ θλίψεις αἱ ἐν αὐτῷ φλέγουσι καὶ τήκουσι τὰς καρδίας τῶν ἐνειλουμένων αὐτῷ. Οἱ οὖν νικήσαντες τὸ θηρίον, τουτέστι τὸν ἀντίχριςον, καὶ μὴ ὁμοιωθέντες κατὰ τὴν εἰκόνα αὐτοῦ, μηδὲ τὸ χάραγμα δεξάμενοι, καὶ τὸν ἀριθμὸν τοῦ ὀνόματος αὐτοῦ, δηλαδὴ τὰ δόγματα καὶ τὰ ἔργα αὐτοῦ, ἀλλὰ νεκρώσαντες τὰ σώματα ἑαυτῶν τῇ ἀσκήσει καὶ τῇ κακουχίᾳ, καὶ ἀποσχόντες τῶν σαρκικῶν διαβεβλημένων ὀρέξεων, καὶ καταστήσαντες ἑαυτοὺς κιθάρας ἐναρμονίους πρὸς ὑμνολογίαν Θεοῦ διὰ τῶν ἐναρέτων πράξεων, οὗτοι καταπατοῦσι τὸν κόσμον τῇ ἀκτημοσύνῃ αὐτῶν, καὶ ἑστῶτές εἰσιν ἐπὶ ταύτην τὴν θάλασσαν, δηλαδὴ ἀκλινεῖς πρὸς ἑκάτερα τῶν μερῶν αὐτοῦ. Ἢ καὶ ἄλλως, θάλασσαν νόησον τὸ πέλαγος τῶν ἀγαθῶν, τὸ ἡτοιμασμένον τοῖς δικαίοις· τὸ δὲ ὑάλινον ταύτης, τὸ λαμπρὸν καὶ διαυγὲς καὶ πεπηγὸς καὶ ἀτάραχον. Τὸ δὲ μεμιγμένην εἶναι πυρὶ, σημαίνει τὴν θερμότητα τῆς πρὸς Θεὸν ἀγάπης, καὶ τὸ στίλβον τῆς καθαρᾶς πολιτείας τῆς ἐσομένης τοῖς δικαίοις, οἵτινες ἑστῶτές εἰσι, καὶ αἰωνίως διαμένοντες ἐπὶ ταύτην τὴν θάλασσαν τῶν ἀγαθῶν. Τὸ δὲ ᾄδουσι τὴν ᾠδὴν Μωσέως δούλου τοῦ Θεοῦ, σημαίνει τοὺς πρὸ νόμȣ καὶ μετὰ τὸν νόμον Μωϋσέως. Οἱ δὲ ᾄδοντες τὴν ᾠδὴν τοῦ ἀρνίου εἰσὶν οἱ Χριστιανοί. Ἀμφότεροι δὲ δοξάζουσι τὸν Θεὸν διὰ τῆς σωφροσύνης καὶ ἀσκήσεως τῶν σωμάτων αὐτῶν.

5 Καὶ μετὰ ταῦτα εἶδον, καὶ ἰδοὺ ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ.

Σκηνὴ τοῦ μαρτυρίου ἐςὶν, ἣν ἔπηξε Μωϋσῆς ὁ Προφήτης, δείξαντος αὐτῷ τοῦ Θεοῦ τὸν σχηματισμὸν ταύτης ἐπὶ τοῦ ὄρȣς Σινᾶ, καὶ εἰπόντος αὐτῷ· «Ὅρα ἵνα ποιήσῃς πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει» (1). Λέγεται δὲ σκηνὴ

(1) Ἐξ. κέ, 40.

τοῦ μαρτυρίου, ὅτι ἐν αὐτῇ ὡς ἐν ἁγίῳ τόπῳ οἷα ἐνοικῶν ὁ Θεὸς διεμαρτύρετο τὰς ἐντολάς αὐτοῦ τοῖς ἱερεῦσι τῆς παλαιᾶς νομικῆς λατρείας, ἥτις ἦν τύπος τῶν οὐρανίων μυστηρίων, τῶν τηνικαῦτα μὲν κεκρυμμένων καὶ ἀνερμηνεύτων, ἐν δὲ τῇ παρουσίᾳ τοῦ Σωτῆρος ἀποκαλυφθέντων τοῖς πιστοῖς. Ταύτης τῆς ἀποκαλύψεως σύμβολα ἐγένετο, τὸ διαῤῥαγῆναι τὸ καταπέτασμα τοῦ νομικοῦ ναοῦ ἀπὸ ἄνωθεν ἕως κάτω, ἐν τῷ καιρῷ τῆς σωτηρίου σταυρώσεως, δηλοῦντος τοῦ πράγματος, ὅτι τῶν μυστηρίων τοῦ Θεοῦ τῶν ὡς ὑπὸ πετάσματι κεκρυμμένων ἀπὸ καταβολῆς κόσμου, τυπικῶς δὲ καὶ σκιωδῶς τοῖς ὑπὸ τὸν Μωσαϊκὸν νόμον τελοῦσιν μόνοις νομοθετηθέντων, ἡ ἀλήθεια διὰ τῆς σωτηρίου σταυρώσεως ἀνεκαλύφθη πᾶσι τοῖς ἔθνεσιν. Ὅθεν τὸ εἰπεῖν τὴν Ἀποκάλυψιν, ὅτι ἠνοίγη ὁ ναὸς τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τῷ οὐρανῷ, ἐστὶν ἀντὶ τοῦ, ὥσπερ τὰ τυπικῶς σκιαγραφούμενα περὶ τῆς ἐνσάρκου οἰκονομίας ἐν ταῖς ἱεραῖς δέλτοις ἀνεπτύχθησαν ἐν τῇ πρώτῃ τοῦ Χριστοῦ ἐπὶ γῆς παρουσίᾳ, οὕτω καὶ τὰ ἐν αὐταῖς ἀπειλούμενα τοῖς ἁμαρτωλοῖς ἀνακαλυφθήσονται ἐν τῇ δευτέρᾳ αὐτοῦ παρουσίᾳ.

6 Καὶ ἐξῆλθον οἱ ἑπτὰ ἄγγελοι ἔχοντες τὰς ἑπτὰ πληγὰς ἐκ τοῦ ναοῦ, ἐνδεδυμένοι λίνον καθαρὸν καὶ λαμπρὸν, καὶ περιεζωσμένοι περὶ τὰ στήθη ζώνας χρυσᾶς.

Ὁ λινὸς ὁ καθαρὸς καὶ λαμπρὸς τοῦ ἐνδύματος σημαίνει τὴν καθαρότητα τῶν ἐνδεδυμένων αὐτὸν ἀγγέλων, καὶ τὴν ἀποχὴν τῶν ἐκ τῆς ἁμαρτίας ῥύπων καὶ κηλίδων. Αἱ δὲ χρυσαῖ ζῶναι, αἱ περιζωννῦσαι τὰ στήθη αὐτῶν, σημαίνουσι τὸν φόβον τοῦ Θεοῦ, καὶ τὴν ἀγάπην αὐτοῦ, τήν τε τήρησιν τῶν ἐντολῶν αὐτοῦ καὶ τὴν ἐνέργειαν, ἅτινα οἱ δίκαιοι τιμῶσι καὶ φυλάττου-

σιν, ὥσπερ οἱ κοσμικοὶ τὸ χρυσίον, καὶ δι' αὐτῶν συνδέουσι τὰ πάθη τὸν θυμὸν καὶ τὴν ἐπιθυμίαν, ὧν αἱ βάσεις καὶ πηγαὶ ἐν τοῖς στήθεσι, καὶ περισφίγγουσι ταύτας, ὥσπερ αἱ ζῶναι τὴν διάχυσιν καὶ σκεδασμὸν τῶν ἱματίων.

7 Καὶ ἓν ἐκ τῶν τεσσάρων ζώων ἔδωκε τοῖς ἑπτὰ ἀγγέλοις ἑπτὰ φιάλας χρυσᾶς, γεμούσας τοῦ θυμοῦ τοῦ Θεοῦ τοῦ ζῶντος εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

8 Καὶ ἐγεμίσθη ὁ ναὸς καπνοῦ ἐκ τῆς δόξης τοῦ Θεοῦ καὶ ἐκ τῆς δυνάμεως αὐτοῦ· καὶ οὐδεὶς ἠδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν, ἄχρι τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἑπτὰ ἀγγέλων.

Αἱ τοῖς ἁμαρτωλοῖς ἀπειλούμεναι μὲν πληγαὶ, οὔπω δὲ ἐκχυθεῖσαι, ἐν χρυσαῖς φιάλαις ὤφθησαν· ὠφέλιμοί γάρ εἰσι καὶ χρήσιμοι ὥσπερ τὸ χρυσίον τοῖς ἀνθρώποις· οἱ γὰρ ταύταις ἀναλογιζόμενοι καὶ τὴν δικαιοκρισίαν τοῦ Θεοῦ διανοούμενοι, τὸ ἐκ τῆς μετανοίας κέρδος καρποῦνται. Ὃν δὲ λέγει καπνὸν ἐκ τῆς δόξης τοῦ Θεοῦ, τεκμήριόν ἐστι τοῦ ἐκκαιομένου πυρός. Τὸ δὲ οὐδεὶς ἠδύνατο εἰσελθεῖν εἰς τὸν ναὸν ἄχρι τελεσθῶσιν αἱ ἑπτὰ πληγαὶ τῶν ἑπτὰ ἀγγέλων, ἐναργῶς παρίστησιν, ὅτι οἱ δίκαιοι οὐκ εἰσελεύσονται εἰς τὸν ἡτοιμασθέντα αὐτοῖς τόπον πρὸ τῆς συντελείας τοῦ αἰῶνος καὶ τῆς κοινῆς κρίσεως, ἐν ᾗ ἑκάστῳ ἀποδοθήσεται κατὰ τὰ ἔργα αὐτοῦ· καὶ ἐλέγχει τοὺς φάσκοντας ὅτι καὶ οἱ δίκαιοι ἀπέλαβον τέλεια τὰ ἀγαθὰ, καὶ οἱ ἁμαρτωλοὶ τὰς ποινάς.

## ΚΕΦΑΛΑΙΟΝ ΙΣΤ΄.

1 Καὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ ναοῦ λεγούσης τοῖς ἑπτὰ ἀγγέλοις· Ὑπάγετε καὶ ἐκχέατε τὰς φιάλας τοῦ θυμοῦ τοῦ Θεοῦ εἰς τὴν γῆν.

Οἱ ἄγγελοι νοεροὶ καὶ ἀσώματοι ὑπάρχοντες, οὐκ αἰσθήσεσι δουλεύουσιν, οὐδὲ φωνῆς μεγάλης εἰς τὸ ἀκοῦσαι χρῄζουσι. Τοῦτο δὲ οὕτως ἤκουσται τῷ Εὐαγγελιστῇ, σημαίνοντος τοῦ πράγματος τὴν προθυμίαν τῶν ἀγγέλων καὶ ἑτοιμότητα πρὸς τὸ ἐκπληρῶσαι τὰ θεῖα προστάγματα.

2 Καὶ ἀπῆλθεν ὁ πρῶτος καὶ ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὴν γῆν· καὶ ἐγένετο ἕλκος κακὸν καὶ πονηρὸν εἰς τοὺς ἀνθρώπους, τοὺς ἔχοντας τὸ χάραγμα τοῦ θηρίου, καὶ τοὺς τῇ εἰκόνι αὐτοῦ προσκυνοῦντας.

Χύσιν τῆς φιάλης νοητέον τὴν κίνησιν καὶ εἰς πρᾶξιν ὁρμὴν τοῦ θεϊκοῦ θυμοῦ. Ἐπὶ τὴν γῆν δὲ ἐγένετο ἡ ἔκχυσις, τουτέστιν ἐπὶ τοὺς διὰ γήϊνα, δόξαν καὶ πλοῦτον κοσμικὸν, καὶ χοϊκοῦ σώματος ἀνάπαυσιν, δεξαμένους τὸ χάραγμα τοῦ θηρίου, καὶ προσκυνήσαντας, ἤτοι πεισθέντας τῇ εἰκόνι αὐτοῦ, ὅς ἐστιν ὁ κοσμοκράτωρ, ὁ εἰπὼν τῷ Πατρὶ, ὅτι αὗται αἱ βασιλεῖαι καὶ ἡ δόξα καὶ ὁ πλοῦτος αὐτῶν ἐμή ἐστι, καὶ ταῦτα δίδωμι τοῖς ἐμὲ προσκυνοῦσι. Τοῖς οὖν πεισθεῖσι τούτῳ γενήσεται ἕλκος ἐπίπονον ἐν ταῖς καρδίαις αὐτῶν.

3 Καὶ ὁ δεύτερος ἄγγελος ἐξέχεε τὴν φιάλην

αὐτοῦ εἰς τὴν θάλασσαν, καὶ ἐγένετο αἷμα ὡς νεκροῦ, καὶ πᾶσα ψυχὴ ζῶσα ἀπέθανεν ἐν τῇ θαλάσσῃ.

4 Καὶ ὁ τρίτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τοὺς ποταμοὺς, καὶ εἰς τὰς πηγὰς τῶν ὑδάτων, καὶ ἐγένετο αἷμα.

5 Καὶ ἤκουσα τοῦ ἀγγέλου τῶν ὑδάτων λέγοντος· Δίκαιος Κύριε εἶ, ὁ ὢν, καὶ ὁ ἦν, καὶ ὁ ὅσιος, ὅτι ταῦτα ἔκρινας.

6 Ὅτι αἷμα ἁγίων καὶ Προφητῶν ἐξέχεαν, καὶ αἷμα αὐτοῖς ἔδωκας πιεῖν· ἄξιοι γάρ εἰσι.

7 Καὶ ἤκουσα ἄλλου ἐκ τοῦ θυσιαστηρίου λέγοντος· Ναὶ, Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις σου.

Ὁ Θεὸς κατὰ τὴν δικαίαν αὐτοῦ κρίσιν, καὶ τὴν ἄῤῥητον σοφίαν ἀποδίδωσι τὰς τιμωρίας ἑκάστῳ τῶν ἁμαρτωλῶν ὁμοίας οἷς αὐτοὶ πεπράχασι· τὸν γὰρ Φαραὼ καὶ τοὺς περὶ αὐτὸν Αἰγυπτίους, ὡς καταποντίζοντας τὰ βρέφη τῶν Ἰσραηλιτῶν ἐν τοῖς ὕδασι τοῦ ποταμοῦ, ἐπεξῆλθε διὰ τῶν ὑδάτων, πρότερον μὲν, τὰ ὕδατα αὐτῶν εἰς αἷμα μεταβαλών· ὕστερον δὲ, καὶ ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ ἅπαντας καταβυθίσας. Οὕτω καὶ ὁ ἀντίχριστος καὶ οἱ ὀπαδοὶ καὶ ὁμόφρονες αὐτοῦ, ὡς αἵματα τῶν ἁγίων ἐκχέοντας, ἐκπολεμήσει αὐτοὺς, καὶ σφαγέντων αὐτῶν, τὰ αἵματα τήν τε γῆν φοινίξει, καὶ τὴν θάλασσαν, καὶ τὰς πηγὰς, καὶ τοὺς ποταμοὺς, καὶ πάντα τὰ ὕδατα ἐρυθρανεῖ, καὶ πίονται ἐκ τῶν ἡμαγμένων θνησιμαιοπλήρων ὑδάτων κατὰ τὴν δικαίαν τοῦ Θεοῦ κρί-

σιν, δι' ἣν καὶ ὑμνήσουσιν αὐτὸν οἱ ἐπὶ τῶν ὑδάτων ἔφοροι ἄγγελοι, καὶ ἀντιφωνήσουσιν αὐτοῖς οἱ ἐν τῷ θυσιαστηρίῳ, ὥσπερ καὶ ἡμεῖς οἱ χριστιανοὶ ἐν ταῖς ἐκκλησίαις ᾄδομεν καὶ ψάλλομεν, ἀντιφωνοῦντες οἵ τε ἔσωθεν, καὶ οἱ ἔξωθεν τοῦ θυσιαστηρίου, ἤτοι ἱερωμένοι καὶ λαϊκοί.

8 Καὶ ὁ τέταρτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ἥλιον, καὶ ἐδόθη αὐτῷ καυματίσαι τοὺς ἀνθρώπους ἐν πυρί.

9 Καὶ ἐκαυματίσθησαν οἱ ἄνθρωποι καῦμα μέγα, καὶ ἐβλασφήμησαν τὸ ὄνομα τοῦ Θεοῦ τοῦ ἔχοντος ἐξουσίαν ἐπὶ τὰς πηγὰς ταύτας, καὶ οὐ μετενόησαν δοῦναι αὐτῷ δόξαν.

Ὁ καιρὸς, ὁ ἐπάγων τὰς τιμωρίας τοῖς ἁμαρτωλοῖς ἵνα μετανοήσωσιν, ὠνόμασται τροπικῶς ἥλιος, ὥσπερ καὶ ἐν τῷ ᾄσματι τῶν ᾀσμάτων γέγραπται· οὗτος οὖν ὁ καιρὸς διὰ τῶν πληγῶν καυματίσει αὐτούς. Πρὸς δὲ τούτοις, καὶ ἡ τοῦ αἰσθητοῦ ἡλίου καυματώδης πληγὴ, καὶ αἱ ἀνομβρίαι, καὶ λιμοὶ, καὶ λοιμοὶ μαστίζουσιν αὐτοὺς ἀνιαρῶς, ἵνα μετανοήσωσι καὶ ἐξιλάσωνται. Προγινώσκει δὲ τούτους ὁ Θεὸς οὐ μόνον μὴ μετανοήσοντας, μηδὲ ἀναπέμψοντας δόξαν τῷ Θεῷ, ἀλλὰ μᾶλλον καὶ βλασφημήσοντας τὸ ὄνομα αὐτοῦ· διὸ κατὰ παρῳχημένον χρόνον ἐξήνεγκε τὸ ῥῆμα τὸ, οὐ μετενόησαν.

10 Καὶ ὁ πέμπτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν θρόνον τοῦ θηρίου, καὶ ἐγένετο ἡ βασιλεία αὐτοῦ ἐσκοτωμένη· καὶ ἐμασσῶντο τὰς γλώσσας αὐτῶν ἐκ τοῦ πόνου.

11 Καὶ ἐβλασφήμησαν τὸν Θεὸν τοῦ οὐρανοῦ ἐκ τῶν πόνων αὐτῶν, καὶ ἐκ τῶν ἑλκῶν αὐτῶν, καὶ οὐ μετενόησαν ἐκ τῶν ἔργων αὐτῶν.

12 Καὶ ὁ ἕκτος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ ἐπὶ τὸν ποταμὸν τὸν μέγαν τὸν Εὐφράτην, καὶ ἐξηράνθη τὸ ὕδωρ αὐτοῦ, ἵνα ἑτοιμασθῇ ἡ ὁδὸς τῶν βασιλέων τῶν ἀπὸ ἀνατολῶν ἡλίου.

Ξηρανθῆναι δὲ λέγει τὸν ποταμὸν τὸν μέγαν τὸν Εὐφράτην, ὅτι ὥς φασί τινες, ἀπὸ τῶν ἀνατολῶν διὰ τοῦ Εὐφράτου ἔρχεσθαι τὸν ἀντίχριστον, καὶ ἐκ τῆς φυλῆς τοῦ Δὰν ἑνὸς τῶν υἱῶν τοῦ Πατριάρχου Ἰακώβ. Βασιλεῖς δὲ οἱ ἀπὸ ἀνατολῶν ἡλίου, οἱ διὰ τοῦ Εὐφράτου ἐρχόμενοι πρὸς αὐτὸν, εἰσὶν οἱ σύμμαχοι καὶ συμπράκτορες αὐτοῦ.

13 Καὶ εἶδον ἐκ τοῦ στόματος τοῦ δράκοντος, καὶ ἐκ τοῦ στόματος τοῦ θηρίου, καὶ ἐκ τοῦ στόματος τοῦ ψευδοπροφήτου πνεύματα τρία ἀκάθαρτα, ὅμοια βατράχοις.

14 Εἰσὶ γὰρ πνεύματα δαιμόνων ποιοῦντα σημεῖα, ἃ ἐκπορεύεται ἐπὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ τῆς οἰκουμένης ὅλης, συναγαγεῖν αὐτοὺς εἰς πόλεμον τῆς ἡμέρας ἐκείνης τῆς μεγάλης τοῦ Θεοῦ τοῦ Παντοκράτορος.

Δράκων ἐστὶν ὁ πονηρὸς διάβολος διὰ τὸ σκολιὸν καὶ στρεβλὸν τῶν κινημάτων, καὶ στραγγαλιῶδες τῶν δογμάτων αὐτοῦ· Θηρίον δὲ ὁ ἀντίχριστος· διὰ τὸ ἄγριον καὶ ἀνήμερον· ψευδοπροφήτης δὲ ὁ μανιωδῶς καὶ κατ' ἐνθουσιασμὸν ἑαυτὸν προφήτην ἀποκαλῶν, καὶ ψευδῆ ἀγορεύων. Τὰ δὲ πνεύματα τὰ ἀκάθαρτα, τὰ ἐκ τῶν στομάτων αὐτῶν εἰσὶ τὰ βλάσφημα καὶ ἀσεβῆ ῥήματα. Τρία δὲ, διότι βλασφημοῦσι τὴν ὑπερούσιον καὶ ὑπέρθεον Τριάδα. Ὅμοια δὲ βατράχοις ὠράθησαν, ὅτι οὐκ εὐφημίας καὶ ὑμνῳδίας πρὸς Θεὸν λέγουσιν, ἀλλὰ τεταραγμένα καὶ συγκεχυμένα λόγια, ὡς αἱ ἄσημοι φωναὶ τῶν βατράχων, τῶν ἐν βορβόρῳ ἰλυσπωμένων· καὶ ταῦτα πνεύματα δαιμόνων εἰσὶ, διὰ τῶν γοητειῶν καὶ μαγειῶν ἐκπλήττοντα τοὺς ἀνθρώπους, καὶ συνάγοντα τοὺς χαμαιζήλους καὶ γηΐνους, εἰς τὸ ἀντιστῆναι καὶ πολεμῆσαι τῷ Θεῷ τῷ Παντοκράτορι, τῷ ἐρχομένῳ κρῖναι τὴν γῆν πᾶσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῇ μεγάλῃ τῆς κρίσεως.

15 Ἰδοὺ ἔρχομαι ὡς κλέπτης· Μακάριος ὁ γρηγορῶν καὶ τηρῶν τὰ ἱμάτια αὐτοῦ, ἵνα μὴ γυμνὸς περιπατῇ, καὶ βλέπωσι τὴν ἀσχημοσύνην αὐτοῦ.

Ἡ ἡμέρα ἐκείνη ἡ φοβερὰ τῆς κρίσεως ἐλεύσεται ἐξαίφνης, διὰ τοῦτο δέον εἶναι τοὺς εὐσεβεῖς διεγρηγορότας καὶ προσεκτικοὺς φύλακάς τε καὶ πράκτορας τῶν ἀγαθῶν ἔργων, τῶν αὐτοὺς ὡς ἱμάτια καὶ περιβόλαια σκεπόντων καὶ κοσμούντων, ἵνα μὴ ἀμοίρους καὶ γυμνοὺς τούτων καταλάβῃ ἡ ἡμέρα ἐκείνη, καὶ ἐνδύσωνται ἐντροπὴν καὶ αἰσχύνην.

16 Καὶ συνήγαγεν αὐτοὺς εἰς τὸν τόπον τὸν καλούμενον Ἑβραϊστὶ Ἀρμαγεδδών.

Ἀρμαγεδδὼν λέγεται ἑβραϊστὶ ἡ διακοπὴ καὶ ὁ χωρισμός.

Τοιγαροῦν τὰ πονηρὰ πνεύματα, τὰ συνάγοντα τοὺς πονηροὺς εἰς πόλεμον κατὰ τοῦ Θεοῦ, ταῦτα τέλος περανεῖ αὐτοὺς ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, ἥτις λέγεται τόπος τῆς διακοπῆς καὶ τοῦ χωρισμοῦ· ἡ γὰρ θϊεκὴ χάρις ἡ διαφυλάττουσα τοὺς ἀνθρώπους, καὶ ὁδηγοῦσα αὐτοὺς πρὸς γνῶσιν τῆς ἀληθείας, καὶ ἐνιεῖσα αὐτοῖς φωτισμὸν θεῖον, διακοπήσεται καὶ ἀφαιρεθήσεται ἀπὸ τῶν ἀπειθησάντων καὶ μὴ δεξαμένων τὴν ὁδηγίαν ταύτης, ἀλλὰ ἀποκοπήσονται χωρισθέντες ἀπὸ τοῦ θείου ἐλέους, καθὰ καὶ ὁ ψαλμῳδὸς λέγει· «Πάντες οἱ περικύκλω αὐτοῦ οἴσουσι δῶρα τῷ φοβερῷ καὶ ἀφαιρουμένῳ πνεύματα ἀρχόντων» (1).

17 Καὶ ὁ ἕβδομος ἄγγελος ἐξέχεε τὴν φιάλην αὐτοῦ εἰς τὸν ἀέρα, καὶ ἐξῆλθε φωνὴ μεγάλη ἀπὸ τοῦ ναοῦ τοῦ οὐρανοῦ ἀπὸ τοῦ θρόνου, λέγουσα· Γέγονε.

Θρόνος Θεοῦ ἐν τῷ οὐρανῷ καὶ ναός εἰσιν οἱ ἅγιοι, οἱ καταξιωθέντες ὄχημα γενέσθαι καὶ κατοικητήριον αὐτοῦ, πρὸς οὓς λέγει καὶ ὁ Ἀπόστολος, «Ὑμεῖς ἐστὲ ναὸς Θεοῦ» (2)· ὁ γὰρ Θεὸς ἐν αὐτοῖς ἐπαναπαύσατο. Οὗτοι ἐν φωνῇ μεγάλῃ, τουτέστιν ἐν σπουδῇ καὶ προθυμίᾳ πολλῇ, ἐπιποθοῦσι γενέσθαι τὸ θέλημα τοῦ Κυρίου, ὅπερ ἐστὶν ἡ κατὰ τῶν πονηρῶν ἄμυνα ἐν δικαιοσύνῃ.

18 Καὶ ἐγένοντο φωναὶ καὶ βρονταὶ καὶ ἀστραπαὶ, καὶ σεισμὸς ἐγένετο μέγας, οἷος οὐκ ἐγένετο, ἀφ' οὗ οἱ ἄνθρωποι ἐγένοντο ἐπὶ τῆς γῆς, τηλικοῦτος σεισμὸς οὕτω μέγας.

---

(1) Ψαλμ. οέ, 11, 12. (2) Ε' Κορ. ς', 16.

Ὅτε ἐδόθησαν τῷ Μωϋσῇ ἐν τῷ ὄρει Σινᾶ αἱ δέκα ἐντολαί, ἐγένοντο ἐκ τοῦ οὐρανοῦ βρονταὶ ἀστραπαὶ καὶ φωναί, ἵνα γνῶσιν οἱ νομοθετούμενοι, ὅτι ὁ διὰ τοῦ Μωϋσέως διδοὺς αὐτοῖς τὸν νόμον ἐστὶ Θεὸς Παντοκράτωρ, ποιητὴς οὐρανοῦ καὶ γῆς, καὶ φοβηθέντες τηρήσωσι τὰ προστattόμενα. Τὰ αὐτὰ δὲ ταῦτα σημεῖα ἔσεται καὶ ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος, ὑπομιμνήσκοντα τοὺς παραβάτας τῶν ἐντολῶν, ὅτι τῷ τότε νομοθετήσαντι, καὶ τῷ ταῦτα προαπειλήσαντι ἠπείθησαν καὶ ἀντέστησαν. Ὁ δὲ μέγας σεισμὸς σημαίνει τὴν τότε ἐσομένην τῶν πραγμάτων μετακίνησιν, καὶ τὴν ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν τῶν ἀνθρώπων μετάστασιν· καὶ τοιαύτη μετακίνησις οὐδέποτε γέγονεν ἀπὸ κτίσεως κόσμου.

19 Καὶ ἐγένετο ἡ πόλις ἡ μεγάλη εἰς τρία μέρη, καὶ αἱ πόλεις τῶν ἐθνῶν ἔπεσον, καὶ Βαβυλὼν ἡ μεγάλη ἐμνήσθη ἐνώπιον τοῦ Θεοῦ, δοῦναι αὐτῇ τὸ ποτήριον τοῦ οἴνου τοῦ θυμοῦ τῆς ὀργῆς αὐτοῦ, καὶ πᾶσα νῆσος ἔφυγε, καὶ ὄρη οὐχ εὑρέθησαν.

20 Καὶ χάλαζα μεγάλη ὡς ταλαντιαία καταβαίνει ἐκ τοῦ οὐρανοῦ ἐπὶ τοὺς ἀνθρώπους· καὶ ἐβλασφήμησαν οἱ ἄνθρωποι τὸν Θεὸν ἐκ τῆς πληγῆς τῆς χαλάζης, ὅτι μεγάλη ἐστὶν η πληγὴ αὐτῆς σφόδρα.

Πόλιν μεγάλην φασὶν εἶναι τὴν ἁγίαν Πόλιν Ἱερουσαλὴμ, ἥτις καίτοι οὐκ ἐγκαυχᾶται οἰκοδομαῖς τεχνουργικαῖς, κοσμήμασί τε καὶ ἀναθήμασιν, οὐδὲ πλήθει οἰκητόρων οὐδὲ μεγέθει, ἢ

πλούτῳ, ἢ θησαυροῖς, ὑπῆρξε μέντοι μεγάλη διὰ τὸ χρηματίσαι ταύτην πόλιν τοῦ μεγάλου Θεοῦ, ἥτις σέβεται καὶ τιμᾶται πρὸ πάντων τῶν ἐθνῶν. Ἕτεροι δέ φασι πόλιν μεγάλην εἶναι πᾶσαν τὴν οἰκουμένην. Κατ' ἄμφω δὲ τὰ σημαινόμενα, τὸ διαιρεθῆναι αὐτὴν εἰς τρία μέρη δηλοῖ, ὅτι οἱ οἰκήτορες αὐτῆς εἰσι διῃρημένοι κατὰ τὰ δόγματα, τινὲς μὲν εὐσεβῶς καὶ ὀρθοδόξως εἰς τὴν ἐν τῇ μιᾷ Θεότητι Τριάδα τῶν ὑποστάσεων πιστεύοντες, τινὲς δὲ αἱρέσεις εἰς τὴν πίστιν τῆς Τριάδος νεωτερίσαντες, τινὲς δὲ ταύτην παντάσιν ἀρνούμενοι. Αἱ δὲ πόλεις αἱ πεσοῦσαι τῶν ἐθνῶν εἰσὶ τὰ δόγματα καὶ φρονήματα τὰ σαπρὰ καὶ ὀλέθρια. Βαβυλὼν δὲ μεγάλη ἡ μνησθεῖσα ἐνώπιον τοῦ Θεοῦ ἐστὶ τὰ πολλὰ καὶ διάφορα συστήματα τῶν ἁμαρτωλῶν, οἵτινες τῇ ἀμετανοησίᾳ καὶ τῇ ἐν κακίαις καὶ ἁμαρτίαις διαμονῇ παροξύνουσι τὸν Θεόν, καὶ ἐφέλκουσι καθ' ἑαυτῶν τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ Θεοῦ. Νῆσοι δὲ αἱ φυγοῦσαί εἰσιν αἱ ἐκ τῶν ἐθνῶν συναθροισθεῖσαι ἐκκλησίαι εἰς τὴν πίστιν τοῦ Χριστοῦ, ἃς καὶ ὁ Ἡσαίας ὁ Προφήτης νήσους προσαγορεύει. Λέγονται δὲ αἱ χριστιανικαὶ ἐκκλησίαι νῆσοι, ὅτι ἐν μέσῳ τῆς πολυκυμάντου πολυταράχου τε καὶ ἀστάτου θαλάσσης τοῦ κόσμου συνήγαγεν αὐτὰς ἡ ἀγάπη τοῦ Θεοῦ, καὶ συνεκρότησε ταύτας κατ' ἰδίαν, κεχωρισμένας ἀπὸ τῶν κοσμικῶν ταραχῶν, ἑδραίας τε καὶ ἀκλονήτους συνέστησε, συντριβούσας τὰ προσρηγνύμενα κύματα. Τὸ δὲ λέγειν τὴν Ἀποκάλυψιν ὅτι πᾶσα νῆσος ἔφυγε, σημαίνει ὅτι ἀπὸ τῆς πολλῆς ἀσεβείας τῆς ἐσομένης ἐν ταῖς ἡμέραις τοῦ ἀντιχρίστου, ψυγήσεται ἡ ἀγάπη τῶν Χριστιανῶν, ὡς καὶ ὁ Κύριος ἐν Εὐαγγελίοις προέφηνεν, εἰπών· «Διὰ δὲ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν» (1). Τὸ δὲ, ὄρη οὐχ εὑρέθησαν, δηλοῖ ὅτι ἐν ἐκείναις ταῖς ἡμέραις οὐκ ἔσονται διδάσκαλοι καὶ ποιμένες πνευματικοὶ, καὶ οἱ ὡς ὄρη ἑδραῖα καὶ ἀμετακίνητα διατελοῦντες

(1) Ματθ. κδ', 12.

ἀρχιερεῖς καὶ ἐκκλησιαστικῶς προϊστάμενοι εἰς τὸ διδάξαι καὶ παραμυθήσασθαι καὶ στηρίξαι τὰς ἐκκλησίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ τοῦ πλησίον. Καὶ τότε καταβήσεται ἡ ὀργὴ ἀπὸ τοῦ ἐν οὐρανοῖς Θεοῦ ἐπὶ τοὺς πληρέστατα ἁμαρτάνοντας, ὡς χάλαζα μεγάλη ταλαντιαία, τουτέστι πλήρης κατὰ τὸ μέτρον, καθὰ καὶ Σολομὼν προείρηκεν· «Ἐκ πετροβόλȣ θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι» (1).

## ΚΕΦΑΛΑΙΟΝ ΙΖ΄.

1 Καὶ ἦλθεν εἷς ἐκ τῶν ἑπτὰ ἀγγέλων τῶν
ἐχόντων τὰς ἑπτὰ φιάλας, καὶ ἐλάλησε μετ᾿ ἐμοῦ,
λέγων μοι· Δεῦρο δείξω σοι τὸ κρῖμα τῆς πόρνης
τῆς μεγάλης, τῆς καθημένης ἐπὶ τῶν ὑδάτων τῶν
πολλῶν.
2 Μεθ᾿ ἧς ἐπόρνευσαν οἱ βασιλεῖς τῆς γῆς, καὶ
ἐμεθύσθησαν ἐξ οἴνου τῆς πορνείας αὐτῆς οἱ κατοι-
κοῦντες τὴν γῆν.
3 Καὶ ἀπήνεγκέ με εἰς ἔρημον ἐν πνεύματι, καὶ
εἶδον γυναῖκα καθημένην ἐπὶ θηρίον κόκκινον, γέ-
μον ὀνομάτων βλασφημίας, ἔχον κεφαλὰς ἑπτὰ
καὶ κέρατα δέκα.

(1) Σοφ. Σολομ. ε΄, 23.

4 Καὶ ἡ γυνὴ ἡ περιβεβλημένη πορφύρᾳ καὶ κοκκίνῳ, καὶ κεχρυσωμένη χρυσῷ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, ἔχουσα χρυσοῦν ποτήριον ἐν τῇ χειρὶ αὐτῆς, γέμον βδελυγμάτων καὶ ἀκαθαρσίας πορνείας αὐτῆς.

5 Καὶ ἐπὶ τὸ μέτωπον αὐτῆς ὄνομα γεγραμμένον, Μυστήριον· Βαβυλὼν ἡ μεγάλη, ἡ μήτηρ τῶν πορνῶν καὶ τῶν βδελυγμάτων τῆς γῆς.

6 Καὶ εἶδον τὴν γυναῖκα μεθύουσαν ἐκ τοῦ αἵματος τῶν ἁγίων, καὶ ἐκ τοῦ αἵματος τῶν μαρτύρων Ἰησοῦ· καὶ ἐθαύμασα, ἰδὼν αὐτὴν, θαῦμα μέγα.

Ἡ κοσμικὴ βασιλεία ἡ τῷ Θεῷ ἀντιτασσομένη λέγεται πόρνη, ὡς καταλιποῦσα τὸν τρισυπόστατον Θεὸν, τὸν γνήσιον αὐτῆς ἄνδρα, τὸν ἐνιέντα αὐτῇ σπέρματα γνώσεως, καὶ συζευχθεῖσα τῷ ἀλλοτρίῳ διαβόλῳ, καὶ οἰκειωθεῖσα αὐτῷ, καὶ θεοπρεπῆ λατρείαν αὐτῷ προσαγαγοῦσα, καὶ τὰ ἐκείνου ὀλέθρια σπέρματα προσιεμένη, καὶ τὰ κακὰ αὐτοῦ θελήματα ἐκτελοῦσα δι' ἔργων πονηρῶν καὶ στυγητῶν. Ὕδατα δὲ πολλὰ, ἐφ' οἷς αὕτη ἐπικάθηται, ἐστὶ τὰ πολλὰ ἔθνη καὶ φῦλα τῶν ἀνθρώπων, ὧν ἐξουσιάζει μέχρι τῆς τοῦ δικαίου κριτοῦ παρουσίας. Οἱ δὲ μετ' αὐτῆς πορνεύσαντες βασιλεῖς εἰσὶν οἱ ἀπὸ Θεοῦ ἀποστάντες ταῖς βεβήλοις αὐτῶν πράξεσιν. Οὗτοι καὶ κατοικοῦντες τὴν γῆν λέγονται, ὡς μὴ ἔχοντες ἐν οὐρανοῖς κληρονομίαν, διὰ τὸ εἶναι αὐτοὺς χαμαιζήλους, καὶ περὶ τὰ γήϊνα μόνον ἀσχολουμένους· οὓς καὶ ἡ φιλοκοσμία καὶ ἀνομία τοῦ κόσμου ἐμέθυσεν ὡς οἶνος, τὰς ἀνα-

θυμιάσεις τῶν ἐπιθυμιῶν εἰς τὸν ἐγκέφαλον αὐτῶν ἀναγαγοῦσα, καὶ ζάλην καὶ καταφορὰν αὐτοῖς ἐμποιήσασα. Ἡ δὲ ἔρημος, ἐν ᾗ αὕτη διατρίβει, ἐςὶν ἡ ἐν ἀπωλείᾳ διαγωγή, ἡ ἔρημος τῆς χάριτος τοῦ Θεοῦ, τὸ κατοικητήριον τῶν νοητῶν ὀλεθρίων θηρίων, ἤτοι τῶν δαιμόνων. Τὸ δὲ λέγειν τὸν Εὐαγγελιςὴν, ἀπήνεγκέ με ἐν πνεύματι, διδάσκει ἡμᾶς, ὅτι τὸ ἅγιον Πνεῦμα ἔδειξεν αὐτῷ τὰ ὁραθέντα, καὶ ὅτι πνευματικὴν ἔχει τὴν ἑρμηνείαν, ὡς πνευματικῆς ἀποκαλύψεως ὁράματα. Τὸ δὲ θηρίον, ᾧ ἐπικάθηται ἡ πόρνη, ὁ πονηρὸς καὶ θηριώδης ἐστὶ Βελίαρ ᾧ ἐπαναπαύεται, καὶ ἐφ' ᾧ ἐνίδρυται ἡ ἀσέβεια. Τοῦτο δὲ κόκκινον ὤφθη, διὰ τὸ φονικὸν αὐτοῦ καὶ αἱμοχαρές. Γέμον δὲ καὶ ὀνομάτων βλασφημίας ἐστὶν, ὅτι τοῦτο τὸ θηρίον ἐδίδαξε τὺς ὀπαδοὺς αὐτοῦ πάσας τὰς κατὰ Θεοῦ βλασφημίας. Περὶ δὲ τῶν ἑπτὰ κεφαλῶν καὶ τῶν δέκα κεράτων αὐτοῦ προηρμήνευται. Τὸ δὲ εἶναι τὴν γυναῖκα περιβεβλημένην πορφύρᾳ, καὶ κοκκίνῳ καὶ χρυσῷ καὶ λίθῳ τιμίῳ καὶ μαργαρίταις, σημαίνει ὅτι ἡ ἐπικράτεια τῶν ἀσεβῶν ἐξουσίαζεν ἀνθρώπων πολυτίμων καὶ διαυγῶν· καὶ ὅτι αὕτη ἡ ἐπικράτεια ἐκόσμει τὰ εἴδωλα καὶ σεβάσματα αὐτῆς τοιούτοις κοσμήμασι. Τὸ δὲ ἐν χειρὶ αὐτῆς χρυσοῦν ποτήριον, δηλοῖ ὅτι τὰς αἰσχρουργίας, ἐφ' αἷς ἔδει ἐγκαλύπτεσθαι καὶ αἰσχύνεσθαι καὶ κρύπτειν, αὕτη ἀναίδην, καὶ οἷον ἀνακεκαλυμμένῳ μετώπῳ ποιεῖ. Αὕτη ἡ ἀσεβὴς ἐπικράτεια ἐμέθυσε καὶ ἐνεπλήσθη εἰς κόρον τῆς αἱματοχυσίας καὶ ἀναιρέσεως τῶν Χριστιανῶν καὶ τῶν ἁγίων τῶν ὑπὲρ τῆς πίστεως τοῦ Ἰησοῦ μαρτυρησάντων. Ἐπονομάζεται δὲ Βαβυλὼν, ἤτοι σύγχυσις, διότι συνέχεε καὶ ἐτάραττε τοὺς ἀνθρώπους. Ταῦτα οὖν θεασάμενος ὁ Εὐαγγελιστὴς ἐθαύμασεν ἐπὶ τῇ ἀναιδείᾳ αὐτῆς καὶ ἀσχημοσύνῃ.

7 **Κ**αὶ εἶπέ μοι ὁ ἄγγελος· Διατί ἐθαύμασας; ἐγώ σοι ἐρῶ τὸ μυστήριον τῆς γυναικὸς καὶ τοῦ

θηρίου τοῦ βαστάζοντος αὐτὴν, τοῦ ἔχοντος τὰς ἑ-
πτὰ κεφαλὰς καὶ τὰ δέκα κέρατα.
8 Τὸ θηρίον ὃ εἶδες, ἦν, καὶ οὐκ ἔςι, καὶ μέλλει
ἀναβαίνειν ἐκ τῆς ἀβύσσου, καὶ εἰς ἀπώλειαν ὑπά-
γειν, καὶ θαυμάσονται οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς,
(ὧν οὐ γέγραπται τὰ ὀνόματα ἐπὶ τὸ βιβλίον τῆς
ζωῆς ἀπὸ καταβολῆς κόσμου), βλέποντες τὸ θηρίον
ὅτι ἦν, καὶ οὐκ ἔστι, καί περ ἐστίν.
9 Ὧδε ὁ νοῦς ὁ ἔχων σοφίαν· αἱ ἑπτὰ κεφαλαὶ,
ὄρη εἰσὶν ἑπτὰ, ὅπου ἡ γυνὴ κάθηται ἐπ᾽ αὐτῶν.
10 Καὶ βασιλεῖς ἑπτά εἰσιν· οἱ πέντε ἔπεσαν, καὶ
ὁ εἷς ἐστὶν, ὁ ἄλλος οὔπω ἦλθε· καὶ ὅταν ἔλθῃ, ὀ-
λίγον αὐτὸν δεῖ μεῖναι.
11 Καὶ τὸ θηρίον ὃ ἦν, καὶ οὐκ ἔςι, καὶ αὐτὸς
ὄγδοός ἐστι, καὶ ἐκ τῶν ἑπτά ἐστι, καὶ εἰς ἀπώ-
λειαν ὑπάγει.
12 Καὶ τὰ δέκα κέρατα ἃ εἶδες, δέκα βασιλεῖς
εἰσιν, οἵτινες βασιλείαν οὔπω ἔλαβον, ἀλλ᾽ ἐξουσίαν
ὡς βασιλεῖς μίαν ὥραν λαμβάνουσι μετὰ τοῦ θηρίου.
13 Οὗτοι μίαν γνώμην ἔχουσι, καὶ τὴν δύναμιν
καὶ τὴν ἐξουσίαν ἑαυτῶν τῷ θηρίῳ διδόασι.

Τὸ εἰπεῖν τὸν ἄγγελον πρὸς τὸν Εὐαγγελιστὴν, τὸ θηρίον ὃ εἶδες, ἦν, καὶ οὐκ ἔστι, σημαίνει ὅτι τὸ ἐν τῇ Ἀποκαλύψει ὀφθὲν θηρίον ἐστὶν ὁ ἀρχέκακος διάβολος, ὅστις πρὸ μὲν τῆς παρουσίας τοῦ Χριστοῦ ἦν, τουτέστιν ὑπῆρχεν ἐν δυνάμει καὶ ἐξουσίᾳ τοσαύτῃ κατὰ τῶν ἀνθρώπων, ὥστε καὶ βιάζειν αὐτοὺς εἰς τὸ θύειν αὐτῷ τοὺς υἱοὺς καὶ τὰς θυγατέρας αὐτῶν, καὶ τολμῆσαι εἰπεῖν τῷ πάντων Δεσπότῃ· Ἐμοὶ παραδέδοται ἡ ἐξουσία καὶ ἡ δόξα τῶν βασιλειῶν τῆς οἰκουμένης, καὶ ᾧ ἐὰν θέλω, δίδωμι αὐτὴν, καὶ ταῦτα πάντα σοι δώσω, ἐὰν πεσὼν προσκυνήσῃς μοι. Μετὰ δὲ τὴν σταύρωσιν καὶ ἀνάστασιν τοῦ Χριστοῦ κατήργηται τὸ κράτος καὶ συντέτριπται τὸ κέντρον αὐτοῦ, καὶ ἐγένετο ὡς μὴ ὄν. Εἰ δὲ καὶ ἐνίοτε ἐπικρατεῖ καὶ τολμᾷ κατά τινος, τοῦτο γίνεται συγχωρήσει Θεοῦ, ἢ δοκιμάζοντος ἢ καταλιμπάνοντος διὰ τὰς ἁμαρτίας· ὅθεν οὐκ ἔχει ἰδίαν δύναμιν, ἀλλ' αἱ ἁμαρτίαι ἡμῶν ζωοῦσι καὶ ἐνδυναμοῦσιν αὐτόν. Τούτου δὲ ἡ κατοίκησις ἐν τῇ ἀβύσσῳ καὶ ἐν τοῖς κατωτάτοις τοῦ ᾅδου ὑπάρχουσα, ἐκεῖθεν ἀναβαίνει πρὸς τὸ ἐνεργεῖν τὰς κακίας ἐν τῷ κόσμῳ διὰ τῶν ὑπηρετῶν αὐτοῦ· ὥστε καὶ ἐν ταῖς ἡμέραις τοῦ ἀντιχρίστου ἐκεῖθεν ἀναβήσεται πρὸς τὸ ἀναδεῖξαι τὴν πονηρίαν αὐτοῦ, εἶτα ὑπάγει εἰς ἀπώλειαν, ἐν ταρτάρῳ σειραῖς ἀφύκτοις δεσμούμενος καὶ κολαζόμενος αἰωνίως ἐν τῇ γεέννῃ. Οἱ οὖν χαμαίζηλοι καὶ χαμερπεῖς κατὰ τὰ φρονήματα, οὓς καὶ ὁ Θεὸς προέγνω ἀπὸ καταβολῆς κόσμου ἀναξίους τοῦ γραφῆναι τὰ ὀνόματα αὐτῶν ἐπὶ τὸ βιβλίον τῆς ζωῆς, οὗτοι θαυμάσουσιν ἰδόντες τὸ θηρίον, τὸ πρὶν μὲν ὄν, ὕστερον δὲ ὡς μὴ ὄν, καί περ οὐκ εἰς ἀνυπαρξίαν τελείαν χωρῆσαν. Θαυμάσουσι προσέτι ὁρῶντες καὶ τὰ τέρατα, ἃ ποιήσει κατὰ φαντασίαν, ὡς καὶ λατρεῦσαι αὐτῷ ὡς Θεῷ, διὰ τὸ εἶναι αὐτοὺς ἀστηρίκτους καὶ ἀσταθεῖς ἐν τῇ ἀληθινῇ πίστει, καὶ διὰ τὸ ἐσκοτίσθαι τὴν διάνοιαν αὐτῶν ὑπὸ τῆς ἁμαρτίας. Ὅταν δὲ θεάσωνται αὐτὸ, ὅτι πρότερον μὲν ἦν ἐν ἰσχύϊ, ὕστερον δὲ

καταργηθὲν τῇ πανσθενεῖ δυνάμει τοῦ Θεοῦ, καὶ ἐκνευρισθὲν, ὡς μὴ ὂν, ἐκστήσονται τῶν φρενῶν καὶ ἐκπλαγήσονται· οἱ δὲ νοῦν καὶ σοφίαν ἔχοντες, οὐδὲν τούτων πείσονται, οὐδὲ ἐπὶ τοῖς τερατουργήμασιν αὐτοῦ ἐκπλαγήσονται, ἀλλὰ μόνιμοι καὶ σταθεροὶ περὶ τὴν εὐσέβειαν μενοῦσιν. Ἡ δὲ γυνὴ ἡ καθημένη ἐπὶ τῶν ἑπτὰ ὀρέων νοεῖται ἡ κοσμικὴ βασιλεία· αἱ δὲ ἑπτὰ κεφαλαὶ καὶ τὰ ὄρη πόλεις εἰσὶν, αἱ ὑπερέχουσαι τῶν ἄλλων τῷ κράτει καὶ τῇ δυναστείᾳ, καὶ χρηματίσασαι κατὰ καιροὺς θρόνοι βασιλειῶν, οἷά ἐστιν ἡ Νινευὶ θρόνος τῶν Ἀσσυρίων, ἡ Βαβυλὼν τῶν Χαλδαίων, αἱ Σοῦσαι τῶν Περσῶν, ἡ Μακεδονία, ἥ τε Ῥώμη ἡ πρεσβυτέρα καὶ ἡ νέα, καὶ ἄλλαι τοιαῦται, αἵτινες εἰ καὶ πλείω τῶν ἑπτά εἰσι κατ᾽ ἀριθμὸν, λέγονται μέν τοι ἑπτὰ, διὰ τὸ ἐν ταῖς ἑβδομαδικαῖς περιόδοις βασιλεῦσαι αὐτάς. Τόδ᾽ αὐτὸ νοητέον καὶ περὶ τῶν ἑπτὰ βασιλέων.

14 Οὗτοι μετὰ τοῦ ἀρνίου πολεμήσουσι, καὶ τὸ ἀρνίον νικήσει αὐτοὺς, ὅτι Κύριος κυρίων ἐστὶ καὶ Βασιλεὺς βασιλέων· καὶ οἱ μετ᾽ αὐτοῦ κλητοὶ καὶ ἐκλεκτοὶ καὶ πιστοί.

15 Καὶ λέγει μοι, τὰ ὕδατα ἃ εἶδες, οὗ ἡ πόρνη κάθηται, λαοὶ καὶ ὄχλοι εἰσὶ καὶ ἔθνη καὶ γλῶσσαι.

16 Καὶ τὰ δέκα κέρατα, ἃ εἶδες ἐπὶ τὸ θηρίον, οὗτοι μισήσουσι τὴν πόρνην, καὶ ἠρημμωμένην ποιήσουσιν αὐτὴν καὶ γυμνὴν, καὶ τὰς σάρκας αὐτῆς φάγονται, καὶ αὐτὴν κατακαύσουσιν ἐν πυρί.

17 Ὁ γὰρ Θεὸς ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν,

ποιῆσαι τὴν γνώμην αὐτοῦ, καὶ ποιῆσαι μίαν γνώμην, καὶ δοῦναι τὴν βασιλείαν αὐτῶν τῷ θηρίῳ, ἄχρι τελεσθῇ τὰ ῥήματα τοῦ Θεοῦ.

18 Καὶ ἡ γυνὴ ἣν εἶδες ἐστὶν ἡ πόλις ἡ μεγάλη, ἡ ἔχουσα βασιλείαν ἐπὶ τῶν βασιλέων τῆς γῆς.

Τὰ δέκα κέρατα αὐτὸς ὁ Εὐαγγελιστὴς ἡρμήνευσεν εἰς τοὺς δέκα βασιλεῖς· κέρασι δὲ παρεικάσθησαν διὰ τὸ κερατίζειν καὶ ἀντιτάσσεσθαι ἀλλήλοις διὰ τῆς δυναστείας, καὶ τῶν στρατευμάτων, ὡς διὰ κεράτων. Οὗτοι διὰ τὸ περὶ τὴν γῆν ἀσχολεῖσθαι, καὶ βασιλεῖς τῆς γῆς λεγόμενοι, πολεμήσουσι μὲν μετὰ τοῦ ἀρνίου, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ ἀμνοῦ τοῦ Θεοῦ τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, καὶ σπουδάσουσιν ἐξαλεῖψαι τὸ ὄνομα αὐτοῦ, οὐδὲν δὲ ἰσχύσουσιν, ἀλλ' αὐτὸς νικήσει αὐτούς, ὅτι Κύριος τῶν κυρίων ἐςὶ, καὶ Βασιλεὺς τῶν βασιλέων, καὶ παρέξει δύναμιν τοῖς εἰς αὐτὸν πιστεύσασι καὶ ὑπείξασι τῇ κλήσει αὐτοῦ, εἰς τὸ τροπῶσαι τοὺς ἐναντίους. Πολλοὶ μέν τοι καὶ ἐκ τῶν βασιλέων τῆς γῆς ἐπίστευσάν τε καὶ πιστεύσουσιν εἰς Χριστὸν, καὶ μισήσουσι ταύτην τὴν πόρνην, ἤτοι τὴν εἰδωλολατρείαν, οἳ καὶ καθελόντες τὰ ἱδρύματα τῶν εἰδώλων ἐρημώσουσιν αὐτὴν, τά τε κοσμήματα τῶν ξοάνων ἀφελόντες γυμνὴν αὐτὴν ἀναδείξουσι, παυσάμενοι δὲ καὶ τοῦ προσφέρειν ταύτῃ σάρκας θυσιῶν, ὡς φαγόντες τὰς σάρκας αὐτῆς λογισθήσονται, καὶ τὰς ὁλοκαυτώσεις παρέντες κατακαύσουσιν αὐτὴν ἐν πυρί· ὁ γὰρ Θεὸς ἔδωκεν εἰς τὰς καρδίας αὐτῶν ποιῆσαι τὴν γνώμην αὐτοῦ, φωτίσας δηλονότι καὶ ὁδηγήσας αὐτοὺς πρὸς τὴν ἀλήθειαν, καὶ πρὸς τὸ ποιῆσαι τὸ ἀρεστὸν τῇ θείᾳ αὐτοῦ βουλῇ, καὶ ἐκ συμφώνου καὶ ὁμονοίας θεαρέστου ἀποστρέψουσι καὶ ἀποῤῥίψουσι τῷ θηρίῳ ἢ τῷ πονηρῷ κοσμοκράτορι, τῷ εἰπόντι· ἐμή ἐστιν ἡ βασι-

λεία τῆς γῆς καὶ ἡ δόξα τοῦ κόσμου, καὶ δίδωμι αὐτὴν ᾧ τινι ἂν θέλω, τὴν τοιαύτην ὀλέθριον βασιλείαν, καὶ τὸ ἀρχηγικὸν τῆς κακοπραγίας, ἄχρι τελεσθῇ τὰ ῥήματα τοῦ Θεοῦ.

## ΚΕΦΑΛΑΙΟΝ ΙΗ΄.

1 Καὶ μετὰ ταῦτα εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ οὐρανοῦ, ἔχοντα ἐξουσίαν μεγάλην· καὶ ἡ γῆ ἐφωτίσθη ἐκ τῆς δόξης αὐτοῦ.

2 Καὶ ἔκραξεν ἐν ἰσχύϊ φωνῇ μεγάλῃ, λέγων· Ἔπεσεν ἔπεσε Βαβυλὼν ἡ μεγάλη, καὶ ἐγένετο κατοικητήριον δαιμόνων, καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου, καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρτου καὶ μεμισημένου.

3 Ὅτι ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τῆς πορνείας αὐτῆς πεπότικε πάντα τὰ ἔθνη· καὶ οἱ βασιλεῖς τῆς γῆς μετ᾽αὐτῆς ἐπόρνευσαν, καὶ οἱ ἔμποροι τῆς γῆς ἐκ τῆς δυνάμεως τοῦ στρήνους αὐτῆς ἐπλούτησαν.

Μετὰ ταῦτα, τουτέστι μετὰ τὴν κατάλυσιν τοῦ παρόντος σκοτεινοῦ κόσμου ὀφθήσεται ἡ δόξα τῶν οὐρανίων φωτεινῶν ἀγγέλων, ὧν ἡ μὲν βασιλεία πολὺ μείζων τῶν ἐπὶ γῆς βασιλειῶν, ἡ δὲ λαμπρότης φωτιεῖ πᾶσαν τὴν ὑφήλιον. Τὸ δὲ ἔκραξεν ἐν ἰσχύϊ καὶ φωνῇ μεγάλῃ, τὸ ἀμετάθετον σημαίνει τῆς τῶν λεγο-

μένων διαπράξεως. Βαβυλὼν δέ ἐστιν ἡ ἁβρὰ καὶ σπαταλώδης δίαιτα, καὶ ἡ ἐν τρυφῇ καὶ δαψιλείᾳ διαγωγή. Αὕτη οὖν ἐκπεσεῖται ἐν τῇ ἡμέρᾳ τῆς τοῦ αἰῶνος τούτου συντελείας, καὶ γενήσεται κατοικητήριον τῶν δαιμόνων, καὶ φυλακὴ παντὸς πνεύματος ἀκαθάρτου, καὶ φυλακὴ παντὸς ὀρνέου ἀκαθάρτου καὶ μεμισημένου· ἡ γὰρ τρυφὴ καὶ ἀπόλαυσις τῶν ἡδονῶν τῶν κοσμικῶν, καὶ ἡ ἁβρότης τῆς ζωῆς δίδωσι χώραν τοῖς δαίμοσιν εἰς τὸ ποιῆσαι τοὺς ἀκρατεῖς ὡς κατοικητήριον αὐτῶν, καὶ φυλακὴν παντὸς πνεύματος ἀκαθάρτου, καὶ φυλακὴν παντὸς ὀρνέου ἀκαθάρτου καὶ μεμισημένου, τουτέστι τῶν πονηρῶν λογισμῶν, καὶ τῶν ἐπιθυμιῶν τῶν διαβεβλημένων. Ἔθνη δὲ καὶ βασιλεῖς τῆς γῆς, τοὺς περὶ τὰ γήϊνα λέγει ἐσπουδακότας. Τοὺς δὲ πλεονεκτικοὺς καὶ ἐπιθυμητὰς τοῦ προσκαίρου πλούτου ὀνομάζει ἐμπόρους τῆς γῆς, οὓς διὰ τὸ ἀπομακρυνθῆναι Θεοῦ καὶ προσκολληθῆναι τοῖς προσκαίροις, πεπωκότας ἐκ τοῦ οἴνου τῆς πορνείας. Πίονται οὖν οὗτοι πάντες ἐκ τοῦ οἴνου τοῦ θυμοῦ τοῦ Θεοῦ, τοῦ ἐξιστῶντος αὐτοὺς τῇ δριμύτητι τῶν βασάνων.

4 Καὶ ἤκουσα ἄλλην φωνὴν ἐκ τοῦ οὐρανοῦ λέγουσαν· Ἐξέλθετε ἐξ αὐτῆς ὁ λαός μου, ἵνα μὴ συγκοινωνήσητε ταῖς ἁμαρτίαις αὐτῆς, καὶ ἵνα μὴ λάβητε ἐκ τῶν πληγῶν αὐτῆς.

5 Ὅτι ἠκολούθησαν αὐτῆς αἱ ἁμαρτίαι ἄχρι τοῦ οὐρανοῦ, καὶ ἐμνημόνευσεν ὁ Θεὸς τὰ ἀδικήματα αὐτῆς.

6 Ἀπόδοτε αὐτῇ, ὡς καὶ αὐτὴ ἀπέδωκεν ἡμῖν, καὶ διπλώσατε αὐτῇ διπλᾶ κατὰ τὰ ἔργα αὐτῆς· ἐν τῷ ποτηρίῳ, ᾧ ἐκέρασε, κεράσατε αὐτῇ διπλοῦν.

7 Ὅσα ἐδόξασεν ἑαυτὴν καὶ ἐστρηνίασε, τοσοῦτον δότε αὐτῇ βασανισμὸν καὶ πένθος, ὅτι ἐν τῇ καρδίᾳ αὐτῆς λέγει· Κάθημαι βασίλισσα, καὶ χήρα οὐκ εἰμὶ, καὶ πένθος οὐ μὴ ἴδω.

Γέγραπται ἐν ἱεραῖς δέλτοις τὸ τοῦ Κυρίȣ λόγιον· « Ἐξέλθετε ἐκ μέσου αὐτῶν, καὶ ἀφορίσθητε λέγει Κύριος, καὶ ἀκαθάρτȣ μὴ ἅπτεσθε » (1)· τὸ δὲ ἐξέλθετε ἐνταῦθα οὐ διάστασιν καὶ χωρισμὸν σωματικὸν ἐπιτάττει, ἀλλὰ μακρυσμὸν καὶ φυγὴν τοῦ νοὸς καὶ τῆς καρδίας ἀπὸ τῶν πονηριῶν καὶ ἀνομιῶν. Τοῦτο αὐτὸ σημαίνει καὶ ἡ φωνὴ, ἧς ἤκουσεν ὁ Εὐαγγελιστὴς, ἡ λέγουσα· ὁ λαός μου ὁ πιστὸς ὁ ὑπὸ τοῦ Ἰησοῦ Χριστοῦ κεκλημένος καὶ ἐκλεκτὸς, ἐξελθέτω καὶ πόῤῥω γενέσθω τῆς διαβεβλημένης ἐθνικῆς πολιτείας καὶ ἀποσχέσθω ταύτης. Καὶ ὥσπερ ὁ δίκαιος Λὼτ κατὰ κέλευσιν Θεοῦ ἐξελθὼν τῶν Σοδόμων, οὐκ ἐνέμεινεν εἰς τόπον χθαμαλὸν καὶ πεδινὸν, ἀλλ' ἀνῆλθεν εἰς τὸ ὄρος Σιγὼρ, καὶ οὕτως ἐῤῥύσθη ἀπὸ τοῦ θυμοῦ τοῦ Θεοῦ τοῦ ἐπὶ τȣ̀ς μοιχȣ̀ς κατασκήψαντος, οὕτω δεῖ καὶ ἡμᾶς τοὺς πιστοὺς ἐξελθόντας τῷ νοῒ καὶ τῇ καρδίᾳ ἀπὸ τῆς ὁμοιώσεως τῶν πονηρῶν, μὴ ἐμμένειν ταῖς σαρκικαῖς ἡδοναῖς, οὐδὲ στῆναι ἐν ὁδῷ ἁμαρτωλῶν, ἀλλ' αἰωρεῖσθαι εἰς ὕψος τῶν θεαρέστων πράξεων, ἵνα μὴ τῇ ποινῇ τῶν ἁμαρτωλῶν ὑπεύθυνοι γενόμενοι, συμπεριληφθῶμεν αὐτοῖς, καὶ μεθέξωμεν ἐκ τῶν πληγῶν τῶν ἐπελευσομένων, διὰ τὸ πληθυνθῆναι τὰς ἁμαρτίας αὐτῶν καὶ εἰς ὕψος ἀρθῆναι, ὥστε παροξῦναι τὸν θυμὸν τοῦ ὑψίστου Θεοῦ ἐπὶ τοὺς ἐργαζομένους αὐτάς.

8 Διὰ τοῦτο ἐν μιᾷ ἡμέρᾳ ἥξουσιν αἱ πληγαὶ αὐτῆς, θάνατος καὶ πένθος καὶ λιμός· καὶ ἐν πυρὶ

(1) Β' Κορ. ς', 17.

κατακαυθήσεται, ὅτι ἰσχυρὸς Κύριος ὁ Θεὸς ὁ κρίνων αὐτήν.

9 Καὶ κλαύσονται αὐτὴν καὶ κόψονται ἐπ' αὐτῇ οἱ βασιλεῖς τῆς γῆς, οἱ μετ' αὐτῆς πορνεύσαντες καὶ στρηνιάσαντες, ὅταν βλέπωσι τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς·

11 Ἀπὸ μακρόθεν ἑστηκότες διὰ τὸν φόβον τοῦ βασανισμοῦ αὐτῆς, λέγοντες· Οὐαὶ, οὐαὶ ἡ πόλις ἡ μεγάλη Βαβυλὼν, ἡ πόλις ἡ ἰσχυρὰ, ὅτι ἐν μιᾷ ὥρᾳ ἦλθεν ἡ κρίσις σου.

Τὸ ἐν μιᾷ ἡμέρᾳ καὶ ἐν μιᾷ ὥρᾳ, τό τε αἰφνίδιον τῆς ἐπελεύσεως τῶν πληγῶν σημαίνει, καὶ τὸ ἀκοπίαστον τῆς θείας δυναστείας καὶ δικαιοσύνης, καθ' ἃς ἅμα μετελεύσεται τοὺς κακοὺς καὶ ἀμείψει τοὺς ἀγαθοὺς ἐν ἀκαρεῖ, οὐ πολλοῦ δεόμενος χρόνου.

11 Καὶ οἱ ἔμποροι τῆς γῆς κλαίουσι καὶ πενθοῦσιν ἐπ' αὐτῇ, ὅτι τὸν γόμον αὐτῶν οὐδεὶς ἀγοράζει οὐκέτι.

12 Γόμον χρυσοῦ καὶ ἀργύρου καὶ λίθου τιμίου καὶ μαργαρίτου, καὶ βύσσου καὶ πορφύρας, καὶ συρικοῦ καὶ κοκκίνου, καὶ πᾶν ξύλον θύϊνον, καὶ πᾶν σκεῦος ἐλεφάντινον, καὶ πᾶν σκεῦος ἐκ ξύλου τιμιωτάτου, καὶ χαλκοῦ καὶ σιδήρου καὶ μαρμάρου.

13 Καὶ κινάμωμον καὶ θυμιάματα, καὶ μῦρον
καὶ λίβανον, καὶ οἶνον καὶ ἔλαιον, καὶ σεμίδαλιν
καὶ σῖτον, καὶ κτήνη καὶ πρόβατα, καὶ ἵππων καὶ
ῥεδῶν, καὶ σωμάτων καὶ ψυχὰς ἀνθρώπων.
14 Καὶ ἡ ὀπώρα τῆς ἐπιθυμίας τῆς ψυχῆς σου
ἀπῆλθεν ἀπὸ σοῦ, καὶ πάντα τὰ λιπαρὰ καὶ
τὰ λαμπρὰ ἀπῆλθεν ἀπὸ σοῦ, καὶ οὐκέτι οὐ μὴ
εὑρήσεις αὐτά.
15 Οἱ ἔμποροι τούτων οἱ πλουτήσαντες ἀπ' αὐ-
τῆς, ἀπὸ μακρόθεν στήσονται διὰ τὸν φόβον τοῦ βα-
σανισμοῦ αὐτῆς, κλαίοντες καὶ πενθοῦντες.
16 Καὶ λέγοντες· Οὐαὶ, οὐαὶ ἡ πόλις ἡ μεγάλη,
ἡ περιβεβλημένη βύσσινον καὶ πορφυροῦν καὶ κόκ-
κινον, καὶ κεχρυσωμένη ἐν χρυσῷ και λίθῳ τιμίῳ
καὶ μαργαρίταις· ὅτι μιᾷ ὥρᾳ ἐρημώθη ὁ τοσοῦτος
πλοῦτος.

Ἔμποροι τῆς γῆς εἰσιν οἱ περὶ τὰ γήϊνα ἀσχολούμενοι, οἱ τὸν πρόσκαιρον πλοῦτον ἐμπορευόμενοι. Γόμος δὲ αὐτῶν, ὃν οὐκέτι οὐδεὶς ἀγοράζει, ἐστὶ τὰ ἔργα οἷς ἕκαστος αὐτῶν ἐν τῷ παρόντι βίῳ διεπραγματεύσατο. Οἱ οὖν ἐμπορευσάμενοι ματαιότητα, μεταμεληθέντες κλαύσουσι καὶ πενθήσουσιν ἐπὶ τῇ κενοσπουδίᾳ καὶ τῇ ζημίᾳ αὐτῶν. Εἶτα καταλέγει ὁ Εὐαγγελιστὴς τὰς ἐν τῷ κόσμῳ τούτῳ διαφόρους πολιτείας. Καὶ τοὺς μὲν υπο-

μείναντας θλίψεις καὶ κακοπαθείας καὶ τὸ καθαρτικὸν τῶν ἀμπλακημάτων πῦρ τῶν περιστάσεων, παρεικάζει χρυσῷ καὶ ἀργύρῳ. Τοὺς δὲ ἐν λαμπρότησιν ἀγαθῶν ἔργων καὶ ἀρεταῖς διαπρέψαντας λίθῳ τιμίῳ. Τοὺς δὲ βασιλεῖς καὶ τοὺς ἄρχοντας καὶ τοὺς μεγιστᾶνας, βύσσῳ καὶ πορφύρᾳ, καὶ συρικῷ καὶ κοκκίνῳ· τούτοις γὰρ ἐναβρύνονται. Τοὺς δὲ ὑπωπιάσαντας τὰ σώματα αὐτῶν ἐν ἀσκήσει καὶ πόνοις, καὶ ἐν μὲν τῇ παρούσῃ ζωῇ ἀδήλους, μετὰ δὲ τὸν θάνατον αὐτῶν τὴν ὀσμὴν καὶ εὐωδίαν τῶν ἀρετῶν αὐτῶν ἀναθυμιάσαντας, παρείκασε ξύλῳ θυΐνῳ, καὶ κιναμώμῳ καὶ θυμιάμασι καὶ μύρῳ καὶ λιβάνῳ καὶ ἄλλοις τοιούτοις, ὧν τὸ τερπνὸν οὐκ ἐν ὁράσει, ἀλλ' ἐν ὀσμῇ. Τοὺς δὲ δυνατὺς καὶ κραταιὺς, σκεύεσιν ἐλεφαντίνοις χαλκοῖς καὶ σιδηροῖς καὶ μαρμάρῳ. Τοὺς δὲ ἐλεήμονας καὶ πράους καὶ τὸν κόσμον ὠφελήσαντας ἐλέει ἢ διδασκαλίᾳ, οἴνῳ καὶ ἐλαίῳ, καὶ σεμιδάλει καὶ σίτῳ. Τοὺς δὲ ἐν ἁπλότητι καὶ ἀφελείᾳ καρδίας, κτήνεσι καὶ προβάτοις. Τὺς δὲ ταχεῖς καὶ ὁρμητικοὺς, ἵπποις καὶ ῥεδοῖς· τὺς δὲ εὐσταλεῖς καὶ ὑπηρετικοὺς, δούλοις καὶ ψυχαῖς ἀνθρώπων. Καὶ τούτων μὲν τῶν εἰρημένων ἁπάντων ἡ ὀπώρα τῆς ἐπιθυμίας τῆς ψυχῆς, τουτέστιν ἡ ἀκμὴ καὶ ἡ δύναμις καὶ εὐπρέπεια καὶ ὄρεξις, παρελεύσεται ἐν τῇ συντελείᾳ τοῦ κόσμου, καὶ ἡ λιπαρότης καὶ περίσσεια καὶ ἡ ἐπ' αὐτῆς καύχησις καταργηθήσεται. Οἱ δὲ ἐμπορευσάμενοι καὶ ἐκ τούτων πλουτήσαντες ἀπομακρυνθήσονται τούτων, καὶ ἀπὸ ταύτης τῆς ἐπιθυμίας ἀποστήσονται, δεδιότες καὶ ἐκδειματούμενοι ἀπὸ τῶν βασάνων τῶν ἐπενηνεγμένων τοῖς προτιμήσασι καὶ ἀνταλλαξαμένοις τὰ μάταια καὶ ῥευστὰ τῶν ἀεὶ μενόντων.

17 **Κ**αὶ πᾶς κυβερνήτης, καὶ πᾶς ἐπὶ τῶν πλοίων ὁ ὅμιλος, καὶ ναῦται, καὶ ὅσοι τὴν θάλασσαν ἐργάζονται, ἀπὸ μακρόθεν ἔστησαν.

18 **Κ**αὶ ἔκραζον ὁρῶντες τὸν καπνὸν τῆς πυρώσεως αὐτῆς, λέγοντες· Τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ;

19 **Κ**αὶ ἔβαλον χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν, καὶ ἔκραζον κλαίοντες καὶ πενθοῦντες, λέγοντες· Οὐαὶ, οὐαὶ ἡ πόλις ἡ μεγάλη, ἐν ᾗ ἐπλούτησαν πάντες οἱ ἔχοντες πλοῖα ἐν τῇ θαλάσσῃ ἐκ τῆς τιμιότητος αὐτῆς, ὅτι μιᾷ ὥρᾳ ἠρημώθη.

20 **Ε**ὐφραίνου ἐπ' αὐτὴν, οὐρανὲ, καὶ οἱ ἅγιοι Ἀπόστολοι καὶ οἱ Προφῆται, ὅτι ἔκρινεν ὁ Θεὸς τὸ κρίμα ὑμῶν ἐξ αὐτῆς.

**Τ**ὸν παρόντα κόσμον, ὡς ταραττόμενον καὶ κυματούμενον ὑπὸ τῶν πονηρῶν πνευμάτων, καὶ κραδαινόμενον τῷ σάλῳ τῶν μεριμνῶν, θαλάσσῃ παρεικάζειν εἴωθεν ἡ Γραφή. Εἰκὸς οὖν τοὺς ἐμπλέοντας ἀνθρώπους πλοίοις παρεικάζεσθαι· καὶ τοὺς μὲν ἐν φρονήσει καὶ εὐβουλίᾳ διοικοῦντας τὸ πολίτευμα αὐτῶν, εὐλαβεῖς τε καὶ ἀβυθίστους ἀπὸ τῶν ψυχωλέθρων κινδύνων διασωζομένους κυβερνήτας προσαγορεύεσθαι, τοὺς δὲ τούτοις πειθομένους καὶ τὰς νουθεσίας αὐτῶν δεχομένους, ναύτας ὀνομάζεσθαι· τοὺς δὲ κοπιῶντας καὶ πεφροντισμένους ἐν ταῖς βιωτικαῖς περιστάσεσι, τούτους τὴν θάλασσαν ἐργαζομένους λέγεσθαι. Οὗτοι γοῦν πάντες θεώμενοι τὸν καπνὸν τῆς πυρώσεως, ἤτοι τὰς ἀρχὰς τῶν βασάνων τῶν ἀπὸ τοῦ θυμοῦ τοῦ Θεοῦ ἐπισκηψουσῶν τοῖς περὶ τὰ κοσμικὰ ἀσχολουμένοις, καὶ μηδένα λόγον τῶν μελλόντων ἐς δεῦρο πεποιημένοις, οἳ καὶ ἔλεγον ἐν τῇ εὐθηνίᾳ αὐτῶν,

Τίς ὁμοία τῇ πόλει τῇ μεγάλῃ; Ταῦτα ἰδόντες πόῤῥωθεν στήσονται ἀναδυόμενοι καὶ δραπετεύοντες καὶ ἀσφαλιζόμενοι ἀπὸ τοῦ ὀλέθρου. Ὁ δὲ οὐρανὸς, ἤτοι τὸ σύστημα τῶν ἁγίων Ἀποστόλων καὶ Προφητῶν, εὐφρανθήσονται ἐπὶ τῇ καταργήσει τῆς πολυασχόλου ματαιότητος τοῦ κόσμου τοῦ πολυμερίμνου καὶ πολυκινδύνου, καὶ δοξάσει τὸν Θεὸν, ὅτι ἔκρινε τὸ κρῖμα αὐτοῦ, καὶ ἠμύνατο μετελθὼν τοὺς κακώσοντας αὐτούς.

21 **Κ**αὶ ἦρεν εἷς ἄγγελος ἰσχυρὸς λίθον ὡς μῦλον μέγαν, καὶ ἔβαλεν εἰς τὴν θάλασσαν, λέγων· Οὕτως ὁρμήματι βληθήσεται Βαβυλὼν ἡ μεγάλη πόλις, καὶ οὐ μὴ εὑρεθῇ ἔτι.

22 **Κ**αὶ φωνὴ κιθαρῳδῶν καὶ μουσικῶν καὶ αὐλητῶν καὶ σαλπιστῶν οὐ μοὶ ἀκουσθῇ ἐν σοὶ ἔτι· καὶ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ ἐν σοὶ ἔτι· καὶ φωνὴ μύλου οὐ μὴ ἀκουσθῇ ἐν σοὶ ἔτι· καὶ φῶς λύχνου οὐ μὴ φανῇ ἐν σοὶ ἔτι· καὶ φωνὴ νυμφίου καὶ νύμφης οὐ μὴ ἀκουθῇ ἐν σοὶ ἔτι· ὅτι οἱ ἔμποροί σου ἦσαν οἱ μεγιστᾶνες τῆς γῆς· ὅτι ἐν τῇ φαρμακείᾳ σου ἐπλανήθησαν πάντα τὰ ἔθνη· καὶ ἐν αὐτῇ αἵματα προφητῶν καὶ ἁγίων εὑρέθη, καὶ πάντων τῶν ἐσφαγμένων ἐπὶ τῆς γῆς.

Μῦλος ἐστὶ λίθος βαρὺς πολύτρητός τε καὶ τραχὺς, ἀλήθων καὶ ἐκλεπτύνων πᾶν τὸ ἐντιθέμενον· οὗ τὸ μὲν ἵδρυται, τὸ δὲ περὶ τὸν ἄξονα δινεῖται· τούτῳ παρεικάζεται ὁ παρὼν κόσμος·

βαρὺς γὰρ ὀχληρός τε καὶ πολυτάραχός ἐστιν, ᾧ ἀμεταβάτῳ ὑπάρχοντι περιελίσσονται οἱ κύκλοι καὶ αἱ τῶν χρόνων περίοδοι, ἐκλεπτύνοντες καὶ σαφηνίζοντες ἀκριβῶς τὰ συμβάντα· ὅθεν καὶ ὁ Κύριος μύλωνι τοῦτον παρείκασε, λέγων· «Δύο ἀλήθουσαι ἐν τῷ μύλωνι, ἡ μία παραλαμβάνεται καὶ ἡ ἄλλη ἀφίεται» (1)· αἰνιττόμενος διὰ τούτυ, ὅτι τῷ ἀνθρώπῳ ἐν τῷ ἐξερευνᾶν καὶ πολυπραγμονεῖν ἐπὶ λεπτοῦ τὰ πράγματα, ἐξαίφνης ἐπελθὼν αὐτῷ ἀπροσδοκήτως ὁ θάνατος, χωρίζει τὴν ψυχὴν ἀπὸ τοῦ σώματος αὐτοῦ ἀφρόντιδος ὄντος· οὗτινος ἡ μὲν ψυχὴ λαμβάνεται, τὸ δὲ ὑλικὸν τοῦ σώματος ἀφίεται· διὸ καὶ ὁ Θεατὴς τῆς Ἀποκαλύψεως ἑώρακεν ἄγγελον ἰσχυρὸν, ἄραντα λίθον ὡς μῦλον μέγαν, καὶ βαλόντα εἰς τὴν θάλασσαν· ὁ γὰρ τοῖς τοῦ κόσμου ματαίοις περιαντλούμενος, καὶ ταῖς ὑγραῖς καὶ ῥευσταῖς ἡδοναῖς ὑποβρύχιος γιγνόμενος, κατὰ τὰ ἔργα αὐτοῦ ἀπολήψεται, ῥιπτούμενος εἰς τὴν θάλασσαν τῶν βασάνων, καὶ ἐν ὁρμήματι καταποντιζόμενος εἰς γέενναν, καὶ βυθιζόμενος εἰς αὐτὴν, ὥσπερ βυθίζεται ὁ λίθος ὁ μυλικὸς ἐν θαλάσσῃ βαλλόμενος· διὸ καὶ ὁ Κύριος τοιούτῳ ἐχρήσατο παραδείγματι εἰρηκώς· Ὅστις σκανδαλίσῃ τὸν ἀδελφὸν αὐτοῦ, καλόν ἐστιν αὐτῷ μᾶλλον εἰ περίκειται περὶ τὸν τράχηλον αὐτοῦ λίθος μυλικὸς, καὶ βέβληται εἰς τὴν θάλασσαν (2)· βληθεὶς οὖν ὁ τοιοῦτος, ἔσται ἀφανὴς ὡς μὴ ὤν. Τὸ δὲ, φωνὴ τῶν κιθαρῳδῶν καὶ μουσικῶν, καὶ αὐλητῶν καὶ σαλπιστῶν οὐκ ἀκουσθήσεται ἔτι, σημαίνει ὅτι οἱ Προφῆται καὶ οἱ Ἀπόστολοι καὶ οἱ διδάσκαλοι καὶ οἱ κήρυκες, ὧν ὁ φθόγγος ἐξῆλθεν εἰς πάντα τὰ πέρατα, καὶ ἡ διδασκαλία αὐτῶν διεβοήθη εἰς πάντας ἀνθρώπους, ὡς μὲν φωνὴ κιθάρας καὶ μουσικῶν, διὰ τὸ ἐναρμόνιον καὶ σύμφωνον τῆς θεηγορίας αὐτῶν· ὡς δὲ σάλπιγγος διὰ τὸ ἠχητικὸν καὶ βασιλικὸν ταύτης. τοῖς δὲ ὑπερόπταις ὡς λῆρος ἐδόκει τὰ ῥήματα αὐτῶν, καὶ ὡς κρότος μύλωνος.

(1) Ματθ. κδ', 41. (2) Λουκ. ιζ', 2.

Ἀνταποδίδονται οὖν οὗτοι τῷ μὴ ἀκοῦσαι αὐτοὺς τῆς φωνῆς τοῦ Εὐαγγελίου τῆς ὡς μύλου δοξάσης αὐτοῖς, ἀλλὰ ἀκούσονται φωνῆς θρήνων καὶ κλαυθμῶν, καὶ φωνῆς τοῦ θεϊκοῦ θυμοῦ. Τὸ δὲ πᾶς τεχνίτης πάσης τέχνης οὐ μὴ εὑρεθῇ, σημαίνει ὅτι ὁ ἀμετανοήτως ἀποθανὼν, οὐ δυνήσεται ἔτι μετανοῆσαι οὐδὲ πρᾶξαί τι ἀγαθὸν, οὐδὲ ὄψεται τὸ φῶς τὸ ὁδηγητικὸν πρὸς τὴν εὐσέβειαν, καὶ οὐκέτι ἀκούσεται φωνῆς τοῦ νυμφίου, ἤτοι τῆς διδασκαλίας τοῦ Εὐαγγελίου τοῦ Χριστοῦ, οὐδὲ τῆς φωνῆς τῆς νύμφης, ἤτοι τῆς ἁγίας Ἐκκλησίας· ἐν γὰρ τῇ ἐν κόσμῳ διαγωγῇ αὐτοῦ ἠσχολεῖτο περὶ τὰ μάταια, καὶ προετίμα τὰ γήϊνα καὶ πρόσκαιρα, καὶ ἐπλάνα τοὺς ἀνθρώπους, καὶ ἔχεεν αἷμα ἁγίων.

## ΚΕΦΑΛΑΙΟΝ ΙΘʹ.

1 Καὶ μετὰ ταῦτα ἤκουσα ὡς φωνὴν ὄχλου
πολλοῦ μεγάλην ἐν τῷ οὐρανῷ, λέγοντος· Ἀλλη-
λούϊα· ἡ σωτηρία καὶ ἡ δόξα καὶ ἡ τιμὴ καὶ ἡ
δύναμις Κυρίῳ τῷ Θεῷ ἡμῶν.

2 Ὅτι ἀληθιναὶ καὶ δίκαιαι αἱ κρίσεις αὐτοῦ,
ὅτι ἔκρινε τὴν πόρνην τὴν μεγάλην, ἥτις ἔφθειρε
τὴν γῆν ἐν τῇ πορνείᾳ αὐτῆς, καὶ ἐξεδίκησε τὸ αἷ-
μα τῶν δούλων αὐτοῦ ἐκ τῆς χειρὸς αὐτῆς.

3 Καὶ δεύτερον εἴρηκαν· Ἀλληλούϊα· καὶ ὁ κα-
πνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

4 Καὶ ἔπεσον οἱ πρεσβύτεροι οἱ εἴκοσι καὶ τέσσαρες, καὶ τὰ τέσσαρα ζῶα, καὶ προσεκύνησαν τῷ Θεῷ τῷ καθημένῳ ἐπὶ τοῦ θρόνου, λέγοντες· Ἀμήν· Ἀλληλούϊα.

5 Καὶ φωνὴ ἐκ τοῦ θρόνου ἐξῆλθε, λέγουσα· Αἰνεῖτε τὸν Θεὸν ἡμῶν πάντες οἱ δοῦλοι αὐτοῦ, καὶ οἱ φοβούμενοι αὐτὸν, καὶ οἱ μικροὶ καὶ οἱ μεγάλοι.

Ὁ ὄχλος ὁ πολὺς ὁ ἐν τῷ οὐρανῷ, οὗ τὴν φωνὴν ἤκουσεν, εἰσὶ τὰ τάγματα τὰ ἀγγελικὰ καὶ τὰ πλήθη τῶν ἁγίων ψυχῶν, οἵτινες χαίρουσιν ἐπὶ τῇ Θείᾳ ἐκδικήσει, οὐκ ἐπιχαιρεκακοῦντες ὡς ἐχθροῖς, ἀλλ' εὐφραινόμενοι ἐπὶ τῇ λήξει τῆς κακίας αὐτῶν, καὶ εὐχαριστοῦντες τῇ δικαιοκρισίᾳ τοῦ Θεοῦ, ἐφ' ᾗ καὶ δοξάσουσιν αὐτὸν ἐν φωνῇ μεγάλῃ, τουτέστιν ἐν προθυμίᾳ καὶ ἐφέσει τῆς καρδίας· καὶ προσκυνήσουσιν αὐτῷ λέγοντες τὴν ᾠδὴν τὴν Δαβιτικὴν, Ἀλληλούϊα, ὃ ἑρμηνεύεται, Αἰνεῖτε τὸν Κύριον. Θρόνος δὲ τοῦ Θεοῦ λέγεται ἡ βασιλεία αὐτοῦ καὶ ἡ κυριότης, καὶ πάντες οἱ καλοῖς ἔργοις εὐαρεστοῦντες αὐτῷ. Τὸ δὲ καθῆσθαι αὐτὸν ἐπὶ θρόνου, δηλοῖ τὸ ἔμμονον καὶ ἑδραῖον καὶ ἀμετακίνητον τῆς βασιλείας, καὶ τὴν ἀνάπαυσιν αὐτοῦ καὶ εὐαρέστησιν ἐπὶ τοῖς δικαίοις, τοῖς ὑμνοῦσι καὶ δοξάζουσιν αὐτὸν διὰ τῶν καλῶν ἔργων, οἵτινες διὰ μὲν τὴν ταπεινοφροσύνην ὀνομάζονται μικροὶ, διὰ δὲ τὸ ὕψος τῆς δόξης αὐτῶν μεγάλοι· πᾶς γὰρ ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται, ὁ δὲ ταπεινῶν ὑψωθήσεται.

6 Καὶ ἤκουσα ὡς φωνὴν ὄχλου πολλοῦ, καὶ ὡς φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν βροντῶν ἰ-

σχυρῶν, λεγόντων· Ἀλληλούϊα· ὅτι ἐβασίλευσε Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ.

Τὰ πλήθη τῶν πιστῶν συνημμένα τοῖς ἀγγέλοις, καὶ γεγονότα ἓν σύστημα καὶ μία Ἐκκλησία, λέγεται ὄχλος πολύς. Τὸ δὲ πολὺς, κατά τε τὸν ἀριθμὸν καὶ τὴν τιμὴν καὶ τὸ ὕψος τῆς δόξης. Οὗτοι καὶ ὕδατα πολλὰ ὀνομάζονται, ὡς ἐκ παντὸς μέρους συῤῥεύσαντες, καὶ ὅτι ἐνεπλήσθησαν ἁγίου Πνεύματος, ὅπερ ὁ Κύριος ὕδατα ὀνομάζει, ἐν τῷ λέγειν· «Πᾶς ὁ πιστεύων εἰς ἐμὲ (καθὼς λέγει ἡ Γραφὴ), ῥεύσουσιν ἐκ τῆς κοιλίας αὐτοῦ ποταμοὶ ὕδατος ζῶντος· τοῦτο δὲ ἔλεγε περὶ τοῦ Πνεύματος οὗ ἔμελλε λαμβάνειν οἱ πιστεύοντες εἰς αὐτόν» (1). Τὸ δὲ εἶναι τὴν φωνὴν αὐτῶν, ὡς φωνὴν βροντῆς, σημαίνει ὅτι ὁ φθόγγος τῶν Ἀποστόλων ἐξῆλθεν εἰς πάντα τὰ πέρατα τῆς οἰκουμένης, καὶ τὴν διδασκαλίαν τοῦ Εὐαγγελίου ἤκουσαν πάντα τὰ ἔθνη, ἥτις καὶ εἰσέδυ εἰς τὰς καρδίας αὐτῶν, καὶ περιεβόμβησεν αὐτοὺς τῇ βροντῇ τῶν θαυμάτων καὶ τῶν τεράτων· καὶ ὥσπερ τὰ κνώδαλα καὶ τὰ ἰοβόλα ἑρπετὰ ἀκούσαντα τὸν βόμβον τῆς βροντῆς, καταδύεται εἰς τὰ βάθη τῆς γῆς, οὕτω καὶ οἱ ὀλέθριοι δαίμονες ἀκούσαντες τὴν βροντὴν τοῦ Εὐαγγελίου κατέδυσαν εἰς τὰ βάθη τοῦ ταρτάρου. Τοιαύταις οὖν αἰσίαις φωναῖς ὑμνοῦσιν οἱ ἅγιοι τὸν Θεὸν, λέγοντες· Ἀλληλούϊα.

7 Χαίρωμεν καὶ ἀγαλλιώμεθα, καὶ δῶμεν τὴν δόξαν αὐτῷ· ὅτι ἦλθεν ὁ γάμος τοῦ ἀρνίου, καὶ ἡ γυνὴ αὐτοῦ ἡτοίμασεν ἑαυτήν.

Ἀρνίον λέγεται ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· ὁ γὰρ ἀμνὸς, ὃν προσέταξεν ὁ Θεὸς θῦσαι τοῖς Ἰσραηλίταις ἐν τῷ καιρῷ

(1) Ἰωαν. ζ΄. 38.

τῆς ἀπ' Αἰγύπτου ἐξόδου αὐτῶν, καὶ χρίσαι τὰς φλοιὰς τῶν θυρῶν τῷ αἵματι αὐτοῦ, ἵνα ἀπαλλαγῶσι τῆς ἀναιρέσεως τοῦ ὀλοθρευτοῦ, καὶ ἑορτάσαι τὴν ἑορτὴν τῆς ἀπολυτρώσεως τοῦ Φαραώ, ἣν τύπος τοῦ Κυρίου ἡμῶν τοῦ τυθέντος, ἵνα ἀπαλλάξῃ ἡμᾶς ἐκ τῆς δυλείας τοῦ διαβόλυ, καὶ ἵνα τῷ αἵματι αὐτοῦ ἀπαλλαγῶμεν τοῦ ψυχικοῦ θανάτου. Ὅθεν ὁ μὲν Ἠσαΐας λέγει περὶ τοῦ Χριστοῦ, Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· Ὁ δὲ Βαπτιστὴς, Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ. Ὁ αὐτός ἐςι καὶ νυμφίος, ὡς αὐτὸς ἑαυτὸν ὀνομάζει, νυμφίον ἐρχόμενον ἐν τῷ μέσῳ τῆς νυκτός. Καὶ Σολομὼν ἐν τῷ Ἄσματι νυμφίον αὐτὸν προηγόρευσε. Νύμφη δὲ αὐτοῦ καὶ γυνὴ καὶ μνηστὴ ἡ φύσις ἐστὶν ἡ ἀνθρώπινος, καὶ ἡ Ἐκκλησία τῶν εἰς αὐτὸν πιστευόντων, ὡς συζευχθέντος αὐτῇ συναφείᾳ καθαρᾷ, καὶ γενομένου μετ' αὐτῆς ἓν σῶμα, οὗ καὶ κεφαλή ἐστιν ὁ αὐτὸς, ὡς ἔφη Παῦλος ὁ Ἀπόστολος· «Ἡρμοσάμην ὑμᾶς ἑνὶ ἀνδρὶ, παρθένον καθαρὰν παραςῆσαι τῷ Χριςῷ» (1).

8 **Καὶ ἐδόθη αὐτῇ ἵνα περιβάλληται βύσσινον καθαρὸν καὶ λαμπρόν· τὸ γὰρ βύσσινον τὰ δικαιώματά ἐστι τῶν ἁγίων.**

Ταύτῃ τῇ τῶν ἁγίων ὁμηγύρει δέδοται παρὰ Θεοῦ χάρις ἐνδύσασθαι ἀφθαρσίαν καὶ περιβαλέσθαι δόξαν καὶ εὐπρέπειαν, τὸ διὰ ταῖς ἀρεταῖς ἀθωῶσαι αὐτὴν τῶν ἁμαρτιῶν καὶ ἀμφιάσασθαι, οὐχ ὥσπερ ὁ εἰσελθὼν εἰς τὸ δεῖπνον καὶ μὴ ἔχων ἔνδυμα γάμυ, καὶ διὰ τοῦτο ἔξω βληθεὶς, οὐδ' ὥσπερ ὁ ἀνελεήμων πλούσιος, ὁ ἐνδεδυμένος πορφύραν καὶ βύσσον, ἀλλ' ἐνδύσασθαι βύσσινον, καθαρὸν μὲν ὡς ἄμεμπτον καὶ ταῖς ἁμαρτίαις ἀκηλίδωτον, λαμπρὸν δὲ ὡς πεφωτισμένον ταῖς λαμπᾶσι ταῖς ἐχούσαις ἔλαιον τῆς ἐλεημοσύνης, ἃς εἶχον αἱ πέντε φρόνιμοι παρθένοι, αἱ εἰσελθοῦ-

(1) Β' Κορ. ιά, 2.

σαι μετὰ τοῦ νυμφίου εἰς τὸν νυμφῶνα· καὶ τοῦτό ἐστιν ὁ κατὰ δικαιοσύνην Θεοῦ δοθεὶς μισθὸς τοῖς ἁγίοις.

9 Καὶ λέγει μοι· Γράψον· Μακάριοι οἱ εἰς τὸ δεῖπνον τοῦ γάμου τοῦ ἀρνίου κεκλημένοι· καὶ λέγει μοι· Οὗτοι οἱ λόγοι ἀληθινοί εἰσι τοῦ Θεοῦ.

Ἐν τῇ εὐαγγελικῇ παραβολῇ τῶν τοῦ βασιλέως γάμων, τοὺς μὲν κλητοὺς πολλοὺς εἶναι εἶπεν ὁ Κύριος· (πάντας γὰρ ἡ χάρις καλεῖ πρὸς θεογνωσίαν καὶ πρὸς ἀπόλαυσιν τῶν οὐρανίων ἀγαθῶν)· τοὺς δὲ ἐκλεκτοὺς ὀλίγους, τὲς ὑπακούσαντας δηλαδὴ τῇ κλήσει, καὶ ὑποταγέντας τῷ Θεῷ κατὰ τὰ δόγματα καὶ κατὰ τὰ ἔργα. Τούτες τὲς ἐκλεκτὲς ὀνομάζει ἐνταῦθα κεκλημένους εἰς τὸν γάμον τοῦ ἀρνίου, οὓς καὶ μακαρίζει. Οὗτοι καὶ τοὺς ἐν τῷ Εὐαγγελίῳ λόγους τοῦ Θεοῦ ἐκβεβηκότας ἀποδεικνύουσιν, ἤτοι τοὺς μακαρισμούς.

10 Καὶ ἔπεσον ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι αὐτῷ, καὶ λέγει μοι· Ὅρα μή· σύνδουλός σου εἰμὶ, καὶ τῶν ἀδελφῶν σου τῶν ἐχόντων τὴν μαρτυρίαν τοῦ Ἰησοῦ· τῷ Θεῷ προσκύνησον· ἡ γὰρ μαρτυρία τοῦ Ἰησοῦ ἐστι τὸ Πνεῦμα τῆς προφητείας.

Ὡσανεὶ ἔλεγεν ὁ φανεὶς ἄγγελος πρὸς τὸν θεατὴν τῆς Ἀποκαλύψεως, γέγραπται· Κύριον τὸν Θεόν σου προσκυνήσεις καὶ αὐτῷ μόνον λατρεύσεις, ὅτι τὰ πάντα αὐτῷ μόνῳ δοῦλα, ἐγὼ δέ εἰμι εἷς τῶν συνδούλων, ὅμοιος σοί τε καὶ πᾶσι τοῖς λόγῳ καὶ ἔργῳ μαρτυροῦσι τὴν θεότητα τοῦ Χριστοῦ· αὐτὸν οὖν μόνον

προσκυνήσεις, τὸν διδόντα τὸ χάρισμα τῆς προφητείας, τοῖς περὶ αὐτοῦ διαμαρτυρουμένοις ὥσπερ δέδωκε κἀμοί.

11 Καὶ εἶδον τὸν οὐρανὸν ἀνεῳγμένον, καὶ ἰδοὺ ἵππος λευκὸς, καὶ ὁ καθήμενος ἐπ᾽ αὐτὸν καλούμενος πιστὸς καὶ ἀληθινὸς, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ.

Ἡ ἄνοιξις τοῦ οὐρανοῦ σημαίνει τὴν παρασκευὴν τῆς τοῦ δικαίου κριτοῦ παρουσίας, ἐν ᾗ κρινεῖ ζῶντάς τε καὶ νεκροὺς, τουτέστι διακρινεῖ καὶ διαχωρίσει τὰ ἔργα τῶν τε ἀγαθῶν καὶ τῶν πονηρῶν. Ὁ δὲ ἵππος καὶ ἡ ἐπίβασις αὐτοῦ σημαίνει τὴν ταχύτητα τῆς ἐλεύσεως, τό τε ἑδραῖον καὶ ἀμετακίνητον τῆς κρίσεως. Ὁ δὲ ἔφιππός ἐςιν ὁ κριτὴς, ὅστις λέγεται καὶ πιςὸς, ὅτι ἐν εὐθύτητι καὶ δικαιοσύνῃ κρινεῖ. Ὁ αὐτὸς καὶ ἐν ἀληθείᾳ καὶ δικαιοσύνῃ πολεμήσει καὶ τροπώσει τόν τε διάβολον καὶ τοὺς ὀπαδοὺς αὐτοῦ.

12 Οἱ δὲ ὀφθαλμοὶ αὐτοῦ ὡς φλὸξ πυρὸς, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ διαδήματα πολλά· ἔχων ὄνομα γεγραμμένον, ὃ οὐδεὶς οἶδεν εἰμὴ αὐτός.

Ἡ ὕλη ἐστὶ δεκτικὴ μορφῆς καὶ σχήματος, ὁ δὲ Θεός ἐςι τούτων ἀνεπίδεκτος, διὰ τοῦτο ἀπήλλακται πάσης ὑλικῆς περιπετείας· διὰ δὲ φιλανθρωπίαν ὤφθη πολλάκις τοῖς Προφήταις ἐν σχήματι καὶ μορφαῖς, αἷς ὁ ἑκάστου καιρὸς ἀπῄτει, καὶ κατὰ τὴν δύναμιν τῶν ὁρώντων. Ἐνανθρωπήσας μέν τοι καὶ Υἱὸς τοῦ Θεοῦ ὢν, καὶ γενόμενος τέλειος ἄνθρωπος ἐμορφώθη κατὰ τὴν αὐτοῦ ἀνθρωπότητα. Ἡ δὲ θεαθεῖσα τῷ Εὐαγγελιστῇ μορφὴ οὐκ ἦν ἡ μορφὴ τῆς ἀνθρωπότητος, ἣν ἀνέλαβεν ὁ τοῦ Θεὸς Υἱὸς,

ἀλλ᾽ ἐνέργείας ἐνδεικτικὸν ἀπείκασμα· τὸ γὰρ εἶναι τοὺς ὀφθαλμοὺς αὐτοῦ ὡς φλόγα πυρός ἐστι σημαντικὸν, ὅτι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως, οὓς ὁρᾷ τοῖς ἀλαθήτοις καὶ κρυφιογνώστοις ὄμμασι τῆς Θεότητος αὐτοῦ δικαίυς ὄντας, τούτους φωτίσει τῷ φωτὶ τῆς αὐτοῦ Θεότητος, οὓς δὲ γινώσκει πονηροὺς καὶ ἀμετανοήτυς, τούτους κατακαύσει τῇ φλογὶ καὶ τῷ πυρὶ τοῦ θυμοῦ αὐτοῦ. Τὰ δὲ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ πολλὰ διαδήματα, σημαίνει ὅτι βασιλεὺς τῶν βασιλέων ἐστὶ, καὶ Κύριος πάσης ἀρχῆς καὶ ἐξουσίας, τῶν τε οὐρανίων κυριοτήτων, καὶ τῶν βασιλέων τῆς γῆς, καὶ τῶν ἐξουσιαστῶν τῶν καταχθονίων. Ἔτι σημαίνει τὰς νίκας καὶ τὰ τρόπαια, ἅπερ συνεστήσατο τῇ δυνάμει τῆς αὐτοῦ Θεότητος, καὶ ὅτι διαδήμασι στεφανώσει τοὺς ἐν ἀρεταῖς αὐτῷ εὐαρεστήσαντας. Τὸ δὲ γεγραμμένον ὄνομα, ὃ οὐδεὶς οἶδεν εἰμὴ αὐτὸς, ἐστὶν ἡ γνῶσις καὶ κατάληψις τῆς θείας αὐτοῦ οὐσίας, ἣν οὐδεὶς τῶν κτιστῶν γινώσκει, οὐδὲ ὀνομάζειν δύναται· τῶν γὰρ ἀδήλων οὐκ ἔστι τιθέναι ὀνόματα. Τὰ δὲ ἐπὶ Θεοῦ λεγόμενα ὀνόματα, οὐκ ἔστι τῆς οὐσίας αὐτοῦ, ἀλλ᾽ ἔστι τῶν ἐμφανῶν ἐνεργειῶν αὐτοῦ γνωρίσματα. Τὸ δὲ περιβεβλῆσθαι ἱμάτιον βεβαμμένον αἵματι, δηλοῖ τὴν ἐνανθρώπησιν καὶ τὸ ᾑμαγμένον πάθος αὐτῆς. Καλεῖται δὲ τὸ ὄνομα αὐτοῦ, ὁ λόγος τοῦ Θεοῦ· ὅτι ὥσπερ ὁ λόγος ἀδιαλείπτως τε καὶ ἀπαθῶς γεννᾶται ἐκ τοῦ νοῦ, καὶ ἀδιάστατος αὐτοῦ μένει, καὶ ὁμοούσιος αὐτῷ τυγχάνει, οὕτω καὶ ὁ Ἐμμανουὴλ κατὰ τὴν Θεότητα αὐτοῦ ἐστὶ γεγεννημένος ἐκ τοῦ Θεοῦ καὶ Πατρὸς, πρὸ πάντων αἰώνων ἀϊδίως ἀπαθῶς καὶ ἀῤῥεύστως, καὶ ἀδιαστάτως μένει τοῦ Πατρὸς, ὁμοούσιος αὐτῷ ὑπάρχων.

13 Καὶ τὰ στρατεύματα τὰ ἐν τῷ οὐρανῷ ἠκολούθη αὐτῷ ἐφ᾽ ἵπποις λευκοῖς, ἐνδεδυμένοι βύσσινον λευκὸν καὶ καθαρόν.

Ἐπειδὴ ὁ Θεὸς ὀνομάζεται Σαββαὼθ, ὅ ἐστι Κύριος τῶν δυ-

νάμεων καὶ κύριος στρατευμάτων, διὰ τοῦτο ὤφθη τῷ Εὐαγγελιστῇ ἐρχόμενος μετὰ τῶν στρατευμάτων τῶν ἐν τῷ οὐρανῷ· καὶ ἐπειδὴ εἴρηται, ὅτι ὡς πιστὸς καὶ εὐθὺς κρινεῖ τε ἐν δικαιοσύνῃ καὶ ἀληθείᾳ, καὶ πολεμήσει τοὺς ἐναντίους ἐν ἀληθείᾳ καὶ εὐθύτητι, διὰ τοῦτο ὤφθη αὐτός τε καὶ τὰ στρατεύματα αὐτοῦ ἐπιβεβηκότες ἐφ᾽ ἵπποις· ὁ γὰρ ἵππος σύμβολον τυγχάνει πολέμου καὶ νίκης. Τὸ δὲ λευκὸν, ὅπερ ἐςὶ χρῶμα διακριτικὸν ὄψεως, καὶ ἔχον ὁμοιότητα πρὸς τὸ φῶς, σημαίνει ὅτι πᾶς ὀφθαλμὸς ὄψεται τὴν δόξαν καὶ λαμπρότητα τοῦ Κριτοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ. Ἔτι δὲ δηλοῖ καὶ τὸ καθαρὸν καὶ λαμπρὸν τῆς οὐσίας αὐτοῦ.

14 Καὶ ἐκ τοῦ ςόματος αὐτοῦ ἐκπορεύεται ῥομφαία δίςομος ὀξεῖα, ἵνα ἐν αὐτῇ πατάσσῃ τὰ ἔθνη· καὶ αὐτὸς ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, καὶ αὐτὸς πατεῖ τὸν ληνὸν τοῦ οἴνου τοῦ θυμοῦ καὶ τῆς ὀργῆς τοῦ Θεοῦ παντοκράτορος.

Η ῥομφαία ἡ ὀξεῖα καὶ δίστομος, ἡ ἐκπορευομένη ἐκ τοῦ στόματος τοῦ Κριτοῦ, ἐστὶ τὸ πρόσταγμα αὐτοῦ τὸ τμητικὸν καὶ ἐνεργὲς, τὸ διαχωρίζον κοπῇ τελείᾳ τοὺς καλοὺς ἀπὸ τῶν κακῶν, καὶ ἀπονοσφίζον τὸ πνευματικὸν ἀπὸ τοῦ ψυχικοῦ, καὶ τὰ ἐρίφια ἀπὸ τῶν προβάτων· ἤτοι τοὺς ἁμαρτωλοὺς ἀπὸ τοὺς δικαίους, λέγοντος, τοῖς μὲν δικαίοις· Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μȣ κ. τ. λ· τοῖς δὲ ἁμαρτωλοῖς· Πορεύεσθε ἀπ᾽ ἐμοῦ οἱ κατηραμένοι κ. τ. λ· διὰ τοῦτο ἀπὸ τοῦ στόματος ἐφάνη· ἐκ γὰρ τοῦ στόματος προέρχεται τὸ πρόςαγμα. Δίστομος δὲ ἡ ῥομφαία· πρὸς γὰρ ἀμφότερα περιςρέφεται τἀναντία. Ἡ δὲ ῥάβδος ἡ σιδηρᾶ, περὶ ἧς προείρηκε καὶ ὁ Ψαλμῳδὸς, ἐστὶν ἡ δικαία κρίσις τοῦ Θεοῦ, ἥτις τοὺς μὲν δικαίους ποιμανεῖ καὶ ὁδηγήσει ὡς πρόβατα εἰς τόπον χλόης, καὶ ἐκθρέψει αὐτοὺς ἐπὶ ὕδωρ ἀναπαύσεως· τοὺς

δὲ ἁμαρτωλοὺς μαςίξει ὡς θηρία, καὶ συντρίψει αὐτοὺς ὡς σκεύη κεραμέως. Ληνὸς δέ ἐστιν ἡ μακροθυμία τοῦ Θεοῦ, ἥτις ἀνεῖχε καὶ ἐχώρει αὐτοὺς, προσμένουσα τὴν ἐπιστροφὴν αὐτῶν· ἐπεὶ δὲ οὐκ ἐπέστρεψαν οὐδὲ μετενόησαν, ἀλλ' ἐπληθύνθησαν μᾶλλον καὶ ἐκορυφώθησαν ἐν πονηρίᾳ, καὶ ἐπλήρωσαν τὸν θυμὸν αὐτοῦ, ὡς πλήρωσιν ληνοῦ ὑπερχειλοῦς γενομένου· καὶ οὐκέτι ςέγων πλέον τοῦ ἐμβληθέντος, ἔκρινεν ὁ Θεὸς καὶ Πατὴρ ἵνα μηκέτι μακροθυμεῖ, ἀλλὰ τῇ δικαιοσύνῃ αὐτοῦ καταπατήσῃ καὶ πιέσῃ τῷ θυμῷ καὶ ἐκθλίψῃ, καὶ ἐκχέῃ αὐτοὺς εἰς τὰ κατώτατα τοῦ ᾅδȣ, ὃν τρόπον ἐκχεῖται ὁ οἶνος ἀπὸ τοῦ ληνοῦ. Τοιγαροῦν ὁ Υἱὸς τοῦ Θεοῦ, ἐν τῷ κρῖναι καὶ ἀποδιδόναι τοῖς πονηροῖς, εὐαρεστεῖ τῷ Πατρὶ, καὶ ἐκτελεῖ τὸ θέλημα αὐτοῦ, ὡς πατήσουσι τὸν ληνὸν τοῦ θυμοῦ αὐτοῦ.

15 **Καὶ ἔχει ἐπὶ τὸ ἱμάτιον καὶ ἐπὶ τὸν μηρὸν αὐτοῦ τὸ ὄνομα γεγραμμένον, Βασιλεὺς βασιλέων καὶ Κύριος κυρίων.**

Ἱμάτιον τοῦ Υἱοῦ τοῦ Θεοῦ ἐςὶν ἡ σὰρξ καὶ ἡ ἀνθρωπότης, ἣν προσείληφε καὶ ἐνεδύσατο ὡς πορφύραν βασιλικήν. Ὁ δὲ μηρὸς δηλοῖ, ὅτι ἐγένετο ἄνθρωπος οὐ κατὰ φαντασίαν, ἀλλὰ κατ' ἀλήθειαν. Τὸ δὲ γεγράφθαι ἐπὶ τοῦ ἱματίου καὶ ἐπὶ τοῦ μηροῦ αὐτοῦ τὸ ὄνομα τῆς θεότητος, ὑπαινίττεται, ὅτι εἰ καὶ τέλειος ἄνθρωπος ἐγένετο, ἀλλ' οὐκ ἀπέςη τοῦ εἶναι Θεὸς τέλειος, Βασιλεὺς βασιλέων, καὶ Κύριος κυρίων, τουτέστι βασιλεὺς καὶ δεσπότης πάντων μὲν ἀνθρώπων ὡς Θεὸς, κατ' ἐξαίρετον δὲ, τῶν βασιλευσάντων καὶ κυριευσάντων τῶν διαβεβλημένων παθῶν, τουτέςι τῶν κρατησάντων καὶ νικησάντων τὰς τοῦ θυμοῦ καὶ τῆς ἐπιθυμίας ἀταξίας.

16 **Καὶ εἶδον ἕνα ἄγγελον ἑστῶτα ἐν τῷ ἡλίῳ**

καὶ ἔκραξε φωνῇ μεγάλῃ, λέγων πᾶσι τοῖς ὀρνέοις, τοῖς πετωμένοις ἐν μεσουρανήματι· Δεῦτε καὶ συνάγεσθε εἰς τὸ δεῖπνον τοῦ μεγάλου Θεοῦ.

17 Ἵνα φάγητε σάρκας βασιλέων, καὶ σάρκας χιλιάρχων καὶ σάρκας ἰσχυρῶν, καὶ σάρκας ἵππων καὶ τῶν καθημένων ἐπ' αὐτῶν, καὶ σάρκας πάντων ἐλευθέρων καὶ δούλων, καὶ μικρῶν καὶ μεγάλων.

Τὸ ἑστᾶναι τὸν ἄγγελον ἐν τῷ ἡλίῳ, ὑπαινίττεται ὅτι τὸ κατ' ἐκεῖνο τοῦ καιροῦ ἔργον αὐτοῦ ἔσται ἐμφανὲς καὶ πᾶσιν ὁρατὸν ὡς ὁ ἥλιος, καὶ ὅτι καταγγελεῖ ἐναργῶς τὰ τῆς λαμπρᾶς καὶ ἐπιφανοῦς σωτηρίας, καὶ ὅτι ἐμφαίνει τοῖς ἀνθρώποις τὰ προστάγματα τοῦ Θεοῦ, ὅς ἐστιν ἡ πηγὴ τοῦ φωτός, καὶ τὰ πρὶν κεκαλυμμένα δικαιώματα ἀνακαλύπτει. Ἡ δὲ φωνὴ αὐτοῦ ἡ μεγάλη σημαίνει τὴν πλείονα καὶ συντονωτέραν προθυμίαν πρὸς ἐκτέλεσιν ὧν διαγγέλλει προσταγμάτων. Τὰ δὲ ὄρνεα τὰ πετώμενα ἐν μεσουρανήματι, ἃ προσκαλεῖται εἰς τὸ δεῖπνον τοῦ μεγάλου Θεοῦ, ἐστὶ τὰ πνεύματα τῶν δικαίων, τῶν ὑπεραρθέντων ἀπὸ τῶν κοσμικῶν καὶ γηΐνων μεριμνῶν ἐν τῇ παρούσῃ ζωῇ, καὶ ἀνατεινάντων τὸ πτερὸν τῆς διανοίας πρὸς τὰ οὐράνια ἀγαθά. Οὗτοι οἱ δίκαιοι ἐν τῇ ἡμέρᾳ τῆς κοινῆς ἀναστάσεως ἁρπαγήσονται πάντες ἐν νεφέλῃ πρὸς ὑπάντησιν τοῦ Κυρίου εἰς ἀέρα, κατὰ τὸν Ἀπόστολον (1)· ὅτε καὶ μασσήσουσι, τουτέστιν ἐπὶ λεπτοῦ γνώσονται τὰς ἀνταποδόσεις τῶν ἀνθρωπίνων πράξεων· καὶ αὕτη ἡ γνῶσις καὶ ἀκρίβεια δεῖπνον κέκληται· ὥσπερ γὰρ ὁ δεῖπνος ἐν τῷ τέλει τῆς ἡμέρας, οὕτως ἐν τῇ συντελείᾳ τῆς προσκαίρου ταύτης

(1) Κολασ. γ'. Α' Θεσ. δ', 17.

ἡμέρας γενήσεται αὕτη ἡ τῶν πραγμάτων ἐπαλήθευσις, τῶν κατ' εὐδοκίαν καὶ βουλὴν ἀρχαίαν τοῦ Θεοῦ προορισθέντων· προώρισε γὰρ ὁ Θεὸς, τοῖς μὲν δικαίοις τὴν βασιλείαν πρὸ καταβολῆς κόσμȣ, τοῖς δὲ ἀμετανοήτοις τὸ πῦρ, τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Αὕτη δὲ ἡ ἀνταπόδοσις, κατ' ἀναφορὰν μὲν τὴν πρὸς τȣ̀ς ἁμαρτωλοὺς, λέγεται πόλεμος· πολεμήσει γὰρ αὐτοὺς καὶ ἀνταποδώσει αὐτοῖς ἀνταπόδομα πολεμίων καὶ ἐχθρῶν· κατὰ δὲ ἀναφορὰν τὴν πρὸς τοὺς δικαίȣς, λέγεται δεῖπνον φαγεῖν· ἡ γὰρ ἐκδίκησις τῶν ἐχθρῶν ἔσται πλήρωσις τῆς ὀρέξεως τῶν δικαίων· Εὐφρανθήσεται γὰρ δίκαιος ὅταν ἴδῃ ἐκδίκησιν· ἔστι δὲ καὶ ἀνάλωσις καὶ ἀφανισμὸς τῶν σαρκικῶν ἐπιθυμιῶν. Βασιλεῖς δὲ καὶ χιλίαρχοι καὶ δυνατοὶ, ὧν αἱ σάρκες πρόκεινται πρὸς βορὰν, εἰσὶν οἱ ἀρχηγοὶ καὶ πρωταίτιοι τῶν πονηριῶν, καὶ οἱ μᾶλλον περὶ τὰ κοσμικὰ καὶ μάταια κατασχολούμενοι. Ἵπποις δὲ παρεικάζονται οἱ θηλυμανεῖς, καὶ ταῖς σαρκικαῖς ἐπιθυμίαις ἐξοιστρούμενοι· οἱ δὲ ἐπ' αὐτοῖς καθήμενοι εἰσὶν οἱ ὑπερέχοντες τῇ θηλυμανίᾳ. Ἐλεύθεροι δὲ, οἱ ποιωθέντες ταῖς κακαῖς πράξεσιν, οἷς ἡ συνήθεια τοῦ κακοῦ ἐγένετο ἕξις, βιάζουσα αὐτοὺς εἰς τὸ ἁμαρτάνειν ὡς δουλωθέντας. Μικροὶ δὲ καὶ μεγάλοι εἰσὶν, οἱ καθ' ὑπεροχὴν καὶ ὕφεσιν ἁμαρτάνοντες.

18 Καὶ εἶδον τὸ θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς, καὶ τὰ στρατεύματα αὐτῶν συνηγμένα ποιῆσαι πόλεμον μετὰ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ.

19 Καὶ ἐπιάσθη τὸ θηρίον, καὶ μετὰ τούτου ὁ ψευδοπροφήτης, ὁ ποιήσας τὰ σημεῖα ἐνώπιον αὐτοῦ, ἐν οἷς ἐπλάνησε τοὺς λαβόντας τὸ χάραγμα τοῦ

θηρίου, καὶ τοὺς προσκυνοῦντας τῇ εἰκόνι αὐτοῦ· ζῶντες ἐβλήθησαν οἱ δύο εἰς τὴν λίμνην τοῦ πυρὸς τὴν καιομένην ἐν τῷ θείῳ.

20 Καὶ οἱ λοιποὶ ἀπεκτάνθησαν ἐν τῇ ῥομφαίᾳ τοῦ καθημένου ἐπὶ τοῦ ἵππου, τῇ ἐκπορευομένῃ ἐκ τοῦ στόματος αὐτοῦ· καὶ πάντα τὰ ὄρνεα ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν.

Τὸ θηρίον, τουτέστιν ὁ διάβολος, καὶ οἱ ὀπαδοὶ αὐτοῦ βασιλεῖς καὶ τὰ στρατεύματα αὐτῶν, οἱ κατὰ τῶν Χριστιανῶν ἐν καιροῖς διαφόροις πολέμȣς κινήσαντες, οἱονεὶ κατ' αὐτοῦ τοῦ Χριστοῦ τὸν πόλεμον συνεστήσαντο, ὡσαύτως καὶ ὁ ἀντίχριςος· ἀλλ' οὗτοι πάντες τῇ κραταιᾷ τοῦ Θεοῦ δυνάμει νικηθέντες καὶ τροπωθέντες, βληθήσονται εἰς τὴν λίμνην τοῦ αἰωνίȣ πυρὸς ζῶντες, ἤτοι μὴ προαποθανόντες, ὃν τρόπον καὶ οἱ Σοδομῖται κατεκάησαν ζῶντες καὶ ἐμπνέοντες. Οἱ δὲ ὀπαδοὶ αὐτῶν καὶ οἱ ὁμοιότροποι ἀνταπεδόθησαν κατὰ τὸ πρόσταγμα τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος τοῦ Θεοῦ. Οἱ δὲ δίκαιοι εὐφράνθησαν ἰδόντες ἐκδίκησιν, καὶ οἱονεὶ ἐχορτάσθησαν ἐκ τῶν σαρκῶν αὐτῶν, τὴν τῆς ἀδραστείας ἐπεξέλευσιν θεασάμενοι.

## ΚΕΦΑΛΑΙΟΝ Κ΄.

1 Καὶ εἶδον ἄγγελον καταβαίνοντα ἐκ τοῦ
οὐρανοῦ, ἔχοντα τὴν κλεῖδα τῆς ἀβύσσου, καὶ ἅ-
λυσιν μεγάλην ἐπὶ τὴν χεῖρα αὐτοῦ.

2 Καὶ ἐκράτησε τὸν δράκοντα, τὸν ὄφιν τὸν ἀρ-
χαῖον, ὅς ἐστι διάβολος καὶ σατανᾶς, καὶ ἔδησεν
αὐτὸν χίλια ἔτη.

3 Καὶ ἔβαλεν αὐτὸν εἰς τὴν ἄβυσσον, καὶ ἔκλει-
σεν αὐτὸν, καὶ ἐσφράγισεν ἐπάνω αὐτοῦ, ἵνα μὴ
πλανήσῃ τὰ ἔθνη ἔτι, ἄχρι τελεσθῇ τὰ χίλια ἔτη·
καὶ μετὰ ταῦτα δεῖ αὐτὸν λυθῆναι μικρὸν χρόνον.

Αὕτη ἡ περικοπὴ σημαίνει τὴν μετὰ Χριστὸν γενομένην κάθειρξιν τοῦ διαβόλου, καὶ τὴν ἀκρωτηρίασιν τῆς δυνάμεως αὐτοῦ, καὶ τὴν κατάργησιν τῶν ἔργων αὐτοῦ, ἃ ἔπαθε σαρκωθέντος τοῦ Κυρίου ἡμῶν· πρὸ μὲν γὰρ τῆς σαρκώσεως τοῦ Χριστοῦ εἶχεν ὁ διάβολος δύναμιν σφοδρὰν, καὶ ἀναγκάζουσαν τοὺς ἀνθρώπους εἰς τὸ λατρεύειν αὐτῷ καὶ θύειν τοῖς εἰδώλοις· ὅθεν καὶ ἐν πᾶσι τοῖς ἔθνεσι συνίστατο εἰδωλεῖα καὶ μαντεῖα καὶ χρηστήρια· σαρκωθεὶς δὲ ὁ Υἱὸς τοῦ Θεοῦ, ὅς ἐστιν ὁ ἰσχυρότερος αὐτοῦ, οὗτος ἐπελθὼν ἐνίκησεν αὐτὸν, κατὰ τὸ γράμμα τὸ ἱερὸν, καὶ τὴν πανοπλίαν αὐτοῦ ἦρεν ἐφ᾿ ᾗ ἐπεποίθει, καὶ τὰ σκῦλα αὐτοῦ, τουτέστι τὰ ἔθνη τὰ αὐτῷ βίᾳ ὑποτεταγμένα, ῥυσάμενος τῆς πλάνης ἔλαβεν αὐτὰ εἰς κληρονομίαν ἑαυτῷ, καὶ ἠφάνισε τοὺς βωμοὺς αὐτῶν· καὶ τοῦτό ἐστιν ὅ φησιν ἡ Ἀποκάλυψις, ὅτι κατέβη ἄγγελος ἐκ τοῦ οὐρανοῦ, ἔχων τὴν κλεῖδα τῆς ἀβύσσου καὶ ἅλυσιν μεγάλην, ἐν ᾗ ἔδυσε τὸν ἀρχέκακον σατανᾶν, τουτέστιν ἐκώλυσε τὴν πλά-

νην καὶ ἐδέσμευσε τὴν τόλμην αὐτοῦ. Τὰ δὲ χίλια ἔτη ἐνταῦθα οὐ σημαίνει τὰς δέκα ἑκατοντάδας, ἀλλὰ τὴν τελειότητα τοῦ ἀριθμοῦ, καὶ τὴν συμπλήρωσιν πάντων τῶν ἀριθμητικῶν διαστημάτων, μονάδων δεκάδων καὶ ἑκατοντάδων, τουτέστιν ἅπαντα τὸν καιρὸν τοῦ Εὐαγγελικοῦ κηρύγματος, καὶ τὴν συμπλήρωσιν τῆς ποσότητος τῶν εὐσεβῶν. Μετὰ δὲ τὴν περαίωσιν τούτου τοῦ χρονικοῦ διαςήματος, τοῦ μόνῳ Θεῷ ἐγνωσμένϐ, ἐλεύσεται ὁ ἀντίχριςος, καὶ βασιλεύσει καιρὸν ὀλίγον, ὡς προείρηται ἐν βίβλῳ Δανιὴλ τοῦ Προφήτϐ· Καιρὸν καὶ καιρϐς, καὶ ἥμισυ καιροῦ, τϐτέςι χρόνον ἕνα καὶ δύο καὶ ἥμισυ χρόνου, ἤτοι τρεῖς ἥμισυ χρόνους· «Εἰ γὰρ μὴ ἐκολωβώθησαν αἱ ἡμέραι ἐκεῖναι, οὐκ ἂν ἐσώθη πᾶσα σάρξ· διὰ δὲ τοὺς ἐκλεκτοὺς κολοβωθήσονται αἱ ἡμέραι ἐκεῖναι», ὡς προέφη ὁ Κύριος (1). Ἐν ἐκείνῳ οὖν τῷ ὀλίγῳ τοῦ καιροῦ, διὰ τὸ πληθυνθῆναι τὴν ἁμαρτίαν, παραχωρήσαντος τοῦ Θεοῦ, ἀφεθήσεται ὁ διάβολος ἐνεργῆσαι ὅσα καὶ πρὸ τῆς ἐνσάρκϐ οἰκονομίας.

4 **Κ**αὶ εἶδον θρόνους, καὶ ἐκάθησαν ἐπ' αὐτούς, καὶ κρίμα ἐδόθη αὐτοῖς· καὶ τὰς ψυχὰς τῶν πεπελεκισμένων διὰ τὴν μαρτυρίαν Ἰησοῦ, καὶ διὰ τὸν λόγον τοῦ Θεοῦ, καὶ οἵτινες οὐ προσεκύνησαν τῷ θηρίῳ, οὔτε τῇ εἰκόνι αὐτοῦ, καὶ οὐκ ἔλαβον τὸ χάραγμα ἐπὶ τὸ μέτωπον αὐτῶν, καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν, καὶ ἔζησαν καὶ ἐβασίλευσαν μετὰ τοῦ Χριστοῦ χίλια ἔτη.

**Τ**οῦτο συνᾴδει τῷ λόγῳ τοῦ Κυρίου, εἰρηκότος τοῖς μαθηταῖς αὐτοῦ· «Ὑμεῖς οἱ ἀκολουθήσαντές μοι ἐν τῇ παλιγγενεσίᾳ, ὅταν καθήσῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ θρόνου δόξης αὐτοῦ, κα-

(1) Ματθ. κδ', 12, 22.

θήσεσθε καὶ ὑμεῖς ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ» (1). Κριτοῦ δὲ μόνου τοῦ Υἱοῦ ὑπάρχοντος, καὶ τὴν κρίσιν μόνου εἰληφότος παρὰ τοῦ Πατρὸς, πῶς κρινοῦσιν οἱ δώδεκα Ἀπόστολοι; Ἄκουε· οἱ μαθηταὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐνεπιστεύθησαν ἀξίωμα διδασκάλων καθημένων ἐπὶ θρόνου διδασκαλικοῦ· οὗτοι γὰρ ἐδίδαξαν τὰ ἔθνη τὴν ἐπίγνωσιν τοῦ ἀληθινοῦ Θεοῦ· ὅθεν ἐν τῇ παλιγγενεσίᾳ, τουτέστιν ἐν τῇ ἡμέρᾳ τῆς κοινῆς ἀναστάσεως καὶ ἐν τῷ αἰῶνι τῷ μέλλοντι τιμὴν διδασκάλου λήψονται, καὶ τοῦτό ἐστι τὸ ἐπὶ θρόνου καθῆσθαι· τὸ δὲ κρίνειν σημαίνει, ὅτι τῇ παρουσίᾳ αὐτῶν καὶ τῇ παραθέσει κατακρινοῦσι τοὺς παραβάτας· καὐτοὶ γὰρ ἄνθρωποι ἦσαν καὶ ἀσθενοῦς φύσεως, ἀλλ' ὑπακούσαντες τοῖς λόγοις τῶν Προφητῶν ἐπίστευσαν εἰς Χριστὸν καὶ ἠκολούθησαν αὐτῷ, καὶ διετέλεσαν ἀκολουθοῦντες ἕως τέλους, ὑπὸ μηδενὸς παρεγκλιθέντες, ἢ ἀποστάντες τῆς κατ' ἴχνος αὐτοῦ ἀκολουθήσεως. Τούτους οὖν ἰδόντες οἱ μὴ δεξάμενοι τοὺς λόγους τῶν Προφητῶν, μηδὲ πιστεύσαντες εἰς Χριστὸν, ἢ μετὰ τὸ πιστεῦσαι ἀποστάντες καὶ ἀρνησάμενοι, εἴτε τοὺς πιστεύσαντας καταδιώξαντες, ἐν ἀπορίᾳ πάσης προφάσεως καὶ ἀπολογίας γενόμενοι ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως καταισχυνθήσονται καὶ ἐντραπήσονται, καὶ αὐτοκατάκριτοι γενόμενοι ἀποστρέψουσιν εἰς τὰ ὀπίσω. Καὶ τοῦτό ἐστι τὸ κρῖναι καὶ τὸ καθίσαι ἐπὶ δώδεκα θρόνους τὰ ἐπαγγελθέντα τοῖς Ἀποστόλοις. Οἱ δὲ διὰ τὴν μαρτυρίαν τοῦ Ἰησοῦ ἀποκτανθέντες, καὶ οἱ μὴ προσκυνήσαντες τῷ θηρίῳ οὐδὲ τῇ εἰκόνι αὐτοῦ, τουτέστιν οἱ μὴ ὁμοιωθέντες αὐτῷ, καὶ οἱ μὴ δεξάμενοι τὸ χάραγμα ἐπὶ τὸ μέτωπον καὶ ἐπὶ τὴν χεῖρα αὐτῶν, τουτέστιν οἱ μὴ ἐγχαραχθέντες τοῖς λογισμοῖς αὐτῶν τὰ ἐκείνων φρονήματα, μηδὲ ἐνεργήσαντες διὰ πρακτικῶν μελῶν τὰ ἐκείνων θελήματα, οὗτοι ἔζησαν, κατὰ τὸ, «Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσιν» (2)· ὡς γὰρ ζῶντες ἐκ-

(1) Ματθ. ιθ', 27. (2) Σοφ. Σολ. ε', 15.

τελοῦσιν ἰάματα καὶ θαυματουργοῦσι καὶ ἐμφαίνονται τοῖς πρὸς αὐτοὺς ἐν πίστει προστρέχουσιν, ἀχώριστοι ὑπάρχοντες τῆς αὐτοζωῆς, καὶ ἐβασίλευσαν μετὰ τοῦ Χριςοῦ χίλια ἔτη, δηλαδὴ δοξάζονται παρὰ τῶν Χριστιανῶν βασιλέων καὶ ἀρχηγῶν, ὃν τρόπον δοξάζεται παρ' αὐτοῖς ὁ Χριςὸς καὶ ἐν τῷ παρόντι κόσμῳ, οὗτινος πᾶς αἰὼν χιλίων ἐστὶ χρόνων.

5 Οἱ δὲ λοιποὶ τῶν νεκρῶν οὐκ ἀνέζησαν, ἕως τελεσθῇ τὰ χίλια ἔτη· αὕτη ἡ ἀνάςασις ἡ πρώτη.

Ὁ Κύριος ἐν Εὐαγγελίοις ἔφη· «Αὕτη ἐστὶν ἡ αἰώνιος ζωὴ, ἵνα γινώσκωσί σε τὸν ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν» (1). Οἱ οὖν μὴ πιστεύσαντες, ὡς στερηθέντες ταύτης τῆς αἰωνίου ζωῆς νεκροὶ λέγονται. Ὡσαύτως καὶ οἱ βιώσαντες ἐν ἀμελείᾳ καὶ ῥαθυμίᾳ καὶ ἀπραξίᾳ τῶν ἐντολῶν τοῦ Θεοῦ, καὶ οὗτοι νεκροὶ λογίζονται, καὶ μὴ ζήσαντες κατὰ Χριςὸν, ὡς ἔφη καὶ ὁ Προφήτης· «Οἱ δὲ νεκροὶ ζωὴν οὐ μὴ ἴδωσι» (2). Μετὰ δὲ τὴν συντέλειαν τοῦ αἰῶνος ἀναστήσονται μὲν μετὰ τῶν λοιπῶν τεθνεώτων, ἀποπεμφθήσονται δὲ εἰς θάνατον αἰώνιον καὶ ἀπώλειαν.

6 Μακάριος καὶ ἅγιος ὁ ἔχων μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ· ἐπὶ τούτων ὁ θάνατος ὁ δεύτερος οὐκ ἔχει ἐξουσίαν, ἀλλ' ἔσονται ἱερεῖς τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ, καὶ βασιλεύσουσι μετ' αὐτοῦ χίλια ἔτη.

Ἐπειδὴ διττὴ ἡ ζωὴ, ἡ μὲν ἐςὶ ζωώδης, ἣν ζῶσι κατὰ σάρ-

(1) Ἰωαν. ιζ', 3. (2) Ησ. κϛ', 14.

κὰ οἱ ῥάθυμοι καὶ καταφρονηταὶ τῶν θείων νόμων, ἡ δέ ἐστιν ἀληθὴς, ἣν ζῶσιν οἱ δίκαιοι· διὰ τοῦτο διττὸς νοεῖται καὶ ὁ θάνατος, ὁ μέν ἐστι χωρισμὸς ἀπὸ τοῦ Θεοῦ· ὁ γὰρ Θεός ἐστιν ἡ αὐτοζωὴ καὶ δοτὴρ τῆς ζωῆς· ὁ δέ ἐστι θάνατος, ὃν θνήσκουσιν ἔτι ζῶντες οἱ νεκρώσαντες τὰ πάθη τὰ διαβεβλημένα τῆς σαρκός. Οὗτοί εἰσι μακάριοι καὶ ἅγιοι καὶ ἔχοντες μέρος ἐν τῇ ἀναστάσει τῇ πρώτῃ. Αὕτη δέ ἐστιν ἡ δόξα τοῦ Θεοῦ καὶ ἡ χάρις, ἣν ὡς προείρηται λαμβάνουσιν ἐν τῷ παρόντι βίῳ οἱ ἅγιοι· Ἐπὶ τούτων οὐκ ἔχει ἐξουσίαν ὁ θάνατος ὁ δεύτερος, ὅς ἐστιν ἀπομακρυσμὸς τοῦ Θεοῦ.

7 **Κ**αὶ ὅταν τελεσθῇ τὰ χίλια ἔτη λυθήσεται ὁ σατανᾶς ἐκ τῆς φυλακῆς αὐτοῦ.

8 **Κ**αὶ ἐξελεύσεται πλανῆσαι τὰ ἔθνη τὰ ἐν ταῖς τέσαρσι γωνίαις τῆς γῆς, τὸν Γὼγ καὶ τὸν Μαγὼγ, συναγαγεῖν αὐτοὺς εἰς πόλεμον, ὧν ὁ ἀριθμὸς ὡς ἡ ἄμμος τῆς θαλάσσης.

9 **Κ**αὶ ἀνέβησαν ἐπὶ τὸ πλάτος τῆς γῆς, καὶ ἐκύκλωσαν τὴν παρεμβολὴν τῶν ἁγίων καὶ τὴν πόλιν τὴν ἠγαπημένην, καὶ κατέβη πῦρ ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτούς.

10 **Κ**αὶ ὁ διάβολος ὁ πλανῶν αὐτοὺς, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρὸς καὶ θείου, ὅπου τὸ θηρίον καὶ ὁ ψευδοπροφήτης· καὶ βασανισθήσονται ἡμέρας καὶ νυκτὸς, εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Γὼγ καὶ Μαγὼγ ἑβραϊκά εἰσιν ὀνόματα, καὶ ἑρμηνεύεται ἄθροισις καὶ ὑπερηφάνεια, καὶ διὰ τούτων νοεῖται ἔθνη καὶ φῦλα πολυάθροιστα καὶ ὑπερήφανα, καὶ ὁρμητικὰ εἰς πόλεμον, περὶ ὧν καὶ Ἰεζεκιὴλ ὁ Προφήτης εἶπε (1). Τούτων τὰς ἐφόδους ὁ Θεὸς νῦν μὲν ἀναχαιτίζει, ἐν δὲ τοῖς ἐσχάτοις καιροῖς, ἡνίκα παραχωρήσαντος τοῦ Θεοῦ ἀφεθῇ ὁ σατανᾶς, οἷον λυθεὶς ἐκ τῆς καθείρξεως αὐτοῦ, καὶ μηκέτι κωλυόμενος τῆς κακουργίας πλανήσει ταῦτα, ἐπιθρασυνεῖ τε καὶ δοξομανήσει ἐπὶ τῷ πλήθει αὐτῶν, ὄντι ὡς ἀριθμὸς τῆς ἄμμου τῆς θαλάσσης· διὸ καὶ νικήσει καὶ πλατυνθήσεται ἐπὶ τῆς γῆς, καὶ κυκλώσει τὴν παρεμβολὴν τῶν εὐσεβῶν καὶ τὴν πόλιν τὴν ἠγαπημένην, τουτέστιν τὴν ἐκκλησίαν τοῦ Χριστοῦ· μετὰ δὲ ταῦτα καταναλωθήσεται πυρὶ τῷ ἀπὸ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ, τουτέστι τῇ ὀργῇ τῇ ἀπὸ τοῦ οὐρανίου Θεοῦ κατασκηψούσῃ.

11 **Καὶ εἶδον θρόνον λευκὸν μέγαν, καὶ τὸν καθήμενον ἐπ' αὐτοῦ, οὗ ἀπὸ προσώπου ἔφυγεν ἡ γῆ καὶ ὁ οὐρανὸς, καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς.**

Θρόνος ἐστὶν αἱ τῶν δικαίων ἀρεταὶ, ὅστις μέγας μέν ἐστιν, ὅτι ἐν αὐταῖς ἐπαναπαύεται ὁ μέγας Κύριος· λευκὸς δὲ, οὐ γάρ ἐστιν ἐν αὐταῖς ἀποσκίασμα καὶ μελανία ἁμαρτίας. Πρόσωπον δὲ Θεοῦ ἐστιν ἡ δευτέρα αὐτοῦ παρουσία. Φυγὴ δὲ τῆς γῆς καὶ τοῦ οὐρανοῦ ἐστιν ἡ μετάστασις τῶν κτισμάτων ἀπὸ τῆς φθορᾶς εἰς τὴν ἀφθαρσίαν, καὶ ἡ τούτων ἀνακαίνισις. Ἐπεὶ δὲ ἡ μετάστασις εἰς τόπον γίνεται, τὴν δὲ ἀνακαίνισιν μετάστασιν ὠνόμασε, μετὰ δὲ τὴν ἀνακαίνισιν τῶν κτισμάτων οὐκ ἔσται ἄλλη μετάστασις, διὰ τοῦτο εἴρηται καὶ τόπος οὐχ εὑρέθη αὐτοῖς, ἤτοι οὐκ ἔστιν αὐτοῖς ἑτέρα μεταποίησις.

(1) Ἰεζ. λή.

12 **Κ**αὶ εἶδον τοὺς νεκροὺς μικροὺς καὶ μεγάλους, ἑστῶτας ἐνώπιον τοῦ Θεοῦ, καὶ βιβλία ἠνεῴχθησαν, καὶ βιβλίον ἄλλο ἠνεῴχθη, ὅ ἐςι τῆς ζωῆς· καὶ ἐκρίθησαν οἱ νεκροὶ ἐκ τῶν γεγραμμένων ἐν τοῖς βιβλίοις, κατὰ τὰ ἔργα αὐτῶν.

**Ν**εκροὺς λέγει πάντας τοὺς ἀνθρώπους· πάντες γὰρ ἐξ ἀνάγκης θνήξουσι, χωρισθεισῶν τῶν ψυχῶν ἀπὸ τῶν σωμάτων αὐτῶν. Καὶ μικροὺς μὲν ὀνομάζει τοὺς ἁμαρτωλούς· ἐλάχιστοι γὰρ καὶ εὐτελεῖς ἔσονται καὶ ἐξουθενημένοι· μεγάλους δὲ τοὺς δικαίους. Ἀμφότεροι δὲ ἀναστήσονται ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἐνώπιον τοῦ Κριτοῦ. Βιβλία δὲ ἀνεωχθέντα ἐστὶν ὁ ἔλεγχος καὶ ἡ παράστασις τῶν ἀνθρωπίνων πράξεων.

13 **Κ**αὶ ἔδωκεν ἡ θάλασσα τοὺς ἐν αὐτῇ νεκρούς· καὶ ὁ θάνατος καὶ ὁ ᾅδης ἔδωκαν τοὺς ἐν αὐτοῖς νεκρούς, καὶ ἐκρίθησαν ἕκαςος κατὰ τὰ ἔργα αὐτῶν.

**Ε**ἰσὶν οἱ ἀθετοῦσι τὴν ἀνάςασιν τῶν νεκρῶν, φάσκοντες τὰ φθαρέντα σώματα καὶ καταναλωθέντα, πῶς δύναται αὖθις συγκροτηθῆναί τε καὶ ἀναστῆναι; τοῦτο ἀναιροῦσα ἡ Ἀποκάλυψις ἐν τῷ παρόντι ἐδαφίῳ λέγει, ὅτι ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγεῖν τὸ πρῶτον δυνηθείς, οὕτως ἐξ ὄντων διεσπαρμένων ἐν τοῖς ςοιχείοις συναγαγεῖν καὶ συγκροτῆσαι καὶ ἀναςῆσαι μᾶλλον δυνήσεται· ὡσανεὶ ἔλεγεν, ὅτι ἡ θάλασσα, τουτέστι τὸ ὕδωρ, ἀποδώσει τὸ ἐν αὐτῇ ἀποτεθὲν ὑγρὸν τῶν σωμάτων· καὶ ὁ θάνατος, ἤτοι ἡ γῆ, τὸ ἐν αὐτῇ ξηρόν· καὶ ὁ ᾅδης, ἤτοι τὸ πῦρ, τὸ ἐν αὐτῷ θερμόν· ὧν ἀποδοθέντων συστήσονται αὖθις τὰ σώματα καὶ ἑνωθήσονται ταῖς ψυχαῖς, προστάγματι τοῦ Θεοῦ, καὶ οὕτω γενήσεται ἡ κοινὴ ἀνάστασις.

14 **Καὶ** ὁ θάνατος καὶ ὁ ᾅδης ἐβλήθησαν εἰς τὴν
λίμνην τοῦ πυρός· οὗτός ἐστιν ὁ δεύτερος θάνατος.
15 **Καὶ** εἴ τις οὐχ εὑρέθη ἐν τῇ βίβλῳ τῆς ζωῆς
γεγραμμένος, ἐβλήθη εἰς τὴν λίμνην τοῦ πυρός.

**Ο**ἱ ἔργα, φησὶν, ἄξια θανάτου καὶ τῆς ἐν ᾅδῃ καθείρξεως πράξαντες, καὶ οἱ μὴ εὑρεθέντες γεγραμμένοι ἐν τῇ βίβλῳ τῆς ζωῆς, ὡς ἄπιστοι βληθήσονται εἰς τὸ πῦρ τὸ ἐξώτερον.

## ΚΕΦΑΛΑΙΟΝ ΚΑ΄.

1 **Κ**αὶ εἶδον οὐρανὸν καινὸν καὶ γῆν καινήν·
ὁ γὰρ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ παρῆλθε,
καὶ ἡ θάλασσα οὐκ ἔστιν ἔτι.

**Τ**ὸ, ὁ πρῶτος οὐρανὸς καὶ ἡ πρώτη γῆ παρῆλθεν οὐ σημαίνει, ὅτι εἰς τὸ μὴ ὂν κεχωρήκασιν, ἀλλ' ὅτι μετεστοιχειώθησαν, καὶ ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν μετέβησαν. Τὸ δὲ ἡ θάλασσα οὐκ ἔστιν ἔτι, ἀντὶ τοῦ, οὐκ ἔτι χρεία τοῖς ἀνθρώποις θαλασσοπορεῖν, πρὸς τὸ ἐμπορεύεσθαι καὶ πραγματεύεσθαι· καὶ ὅτι ἡ θαλασσοταραχὴ τῶν μεριμνῶν οὐκ ἔτι ἔσται.

2 **Καὶ** ἐγὼ Ἰωάννης εἶδον τὴν πόλιν τὴν ἁγίαν
Ἱερουσαλὴμ καινὴν, καταβαίνουσαν ἀπὸ τοῦ Θεοῦ
ἐκ τοῦ οὐρανοῦ, ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς.

Ἡ τῶν δικαίων ἀπόλαυσις Ἱερουσαλὴμ προσαγορεύεται· ἡ γὰρ ἐπίγειος Ἱερουσαλὴμ, καὶ πάλαι μὲν ἦν κατοικητήριον τῶν τὴν ἀληθῆ θεογνωσίαν ἐχόντων, ἐν ᾗ καὶ ὁ ναὸς τοῦ Σολομῶντος καὶ αἱ θυσίαι αἱ νομικαὶ καὶ ἑορταὶ, καὶ ὅσα νενομοθέτηται πρὸς τὴν τοῦ Θεοῦ λατρείαν, ὕστερον δὲ ἐν ταύτῃ ἐγένετο καὶ ἡ σάρκωσις τοῦ Κυρίου ἡμῶν, καὶ αἱ θαυματουργίαι αὐτοῦ, καὶ πάνθ' ὅσα πρὸς σωτηρίαν τῶν ἀνθρώπων· καὶ διὰ ταῦτα πάντα ἡ ἐπίγειος Ἱερουσαλὴμ ἦν τύπος τῆς οὐρανίου βασιλείας. Ὅθεν καὶ ὁ Κύριος ἐν Ἱερουσαλὴμ κηρύσσων εἴρηκεν· «Ἡ βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστι» (1), διὰ τὸ εἶναι καὶ τὴν βασιλείαν τοῦ Θεοῦ οἰκητήριον τῶν πιστευόντων εἰς αὐτὸν, καὶ ἐν αὐτῇ ἐστιν ἡ ἀπόλαυσις τῆς δόξης καὶ λαμπρότητος αὐτοῦ, καὶ αὐτοψία τοῦ φωτὸς τῆς θεότητος αὐτοῦ. Ἑώραται δὲ καταβαίνουσα ἐκ τοῦ οὐρανοῦ· ὁ γὰρ τὴν ἐπίγειον Ἱερουσαλὴμ δοξάσας τῇ θεανδρικῇ αὐτοῦ ἐμπεριπατήσει καὶ τοῖς πάθεσι, συγκαταβὰς ἐκ τοῦ οὐρανοῦ κατῆλθε. Τὸ δὲ ἡτοιμασμένην ὡς νύμφην κεκοσμημένην τῷ ἀνδρὶ αὐτῆς, σημαίνει ὅτι ἡ συνάθροισις τῶν δικαίων, ἧς τύπος ἦν ἡ Ἱερουσαλὴμ, εὐτρεπίσασα ἑαυτὴν καὶ κοσμήσασα ταῖς ἀρεταῖς συναφθήσεται τῷ ἐπουρανίῳ Θεῷ, ὡς ἐνανθρωπήσαντι καὶ λαβόντι σῶμα, καὶ γενήσεται μετ' αὐτοῦ ἓν σῶμα.

3 **Κ**αὶ ἤκουσα φωνῆς μεγάλης ἐκ τοῦ οὐρανοῦ, λεγούσης· Ἰδοὺ ἡ σκηνὴ τοῦ Θεοῦ μετὰ τῶν ἀνθρώπων, καὶ σκηνώσει μετ' αὐτῶν, καὶ αὐτοὶ λαοὶ αὐτοῦ ἔσονται, καὶ αὐτὸς ὁ Θεὸς ἔσται μετ' αὐτῶν, Θεὸς αὐτῶν.

4 **Κ**αὶ ἐξαλείψει ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ τῶν ὀ-

(1) Λουκ. ιζ', 21.

φθαλμῶν αὐτῶν, καὶ ὁ θάνατος οὐκ ἔςαι ἔτι· οὔτε πένθος, οὔτε κραυγὴ, οὔτε πόνος οὐκ ἔσται ἔτι· ὅτι τὰ πρῶτα ἀπῆλθον.

Ἡ σκηνὴ τοῦ μαρτυρίȣ, ἣν ἔπηξε Μωϋσῆς ὁ ἄνθρωπος τοῦ Θεοῦ, ἦν τύπος τῶν οὐρανίων, ὥς φησι καὶ ὁ θεῖος Ἀπόστολος· οἱ οὖν δίκαιοι κατοικήσουσιν ἐν ταύτῃ τῇ προτυπουμένῃ σκηνῇ τῇ ἀχειροποιήτῳ ἐν τοῖς οὐρανοῖς· καὶ ἔσονται αὐτοὶ μὲν λαὸς τοῦ Θεοῦ, αὐτὸς δὲ Θεὸς αὐτῶν, ὡς ἔφη ἐν ταῖς θείαις Γραφαῖς· «Ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός» (1)· ὁ γὰρ Θεὸς, εἰ καὶ παντοκράτωρ καὶ δεσπότης ἐςὶ, λέγεται μέν τοι κατ' ἐξαίρετον Θεὸς τῶν δικαίων οἷά πού φησιν· «Ἐγώ εἰμι Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ» (2). Ἐν ἐκείνῃ οὖν τῇ μετὰ Θεοῦ σκηνώσει γενόμενοι οἱ δίκαιοι ἀπαλλαγήσονται πάντων, ὧν ἐν τῷ βίῳ ὑπέστησαν δεινῶν καὶ θλίψεων· τὰ γὰρ πρῶτα ἀπῆλθον.

5 **Καὶ** εἶπεν ὁ καθήμενος ἐπὶ τοῦ θρόνου· Ἰδοὺ καινὰ πάντα ποιῶ. Καὶ λέγει μοι· Γράψον ὅτι οὗτοι οἱ λόγοι ἀληθινοὶ καὶ πιστοί εἰσι.

Θρόνον τοῦ Θεοῦ προέφημεν εἶναι τὸ σύστημα τῶν ἁγίων, ἐν οἷς ἵδρυται καὶ ἐπαναπαύεται ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, ἐνοικῶν αὐτοῖς. Ὥσπερ καὶ ἐν τῷ παρόντι Εὐαγγελιστῇ τῷ ἠγαπημένῳ Ἰωάννῃ ἐνῴκησε διὰ τὴν παρθενίαν καὶ ἁγνείαν καὶ καθαρότητα τοῦ νοὸς αὐτοῦ, καὶ ἀπεκάλυψεν αὐτῷ τὰ ἐσόμενα, καὶ εἶπεν αὐτῷ γράψον· ὅτι οὗτοι οἱ λόγοι ἀληθινοὶ καὶ πιστοί εἰσι, τȣτέστιν ἀμεταθέτως καὶ ἀμεταποιήτως γενήσονται τὰ λεχθέντα.

---

(1) Β' Κορ. ς', 16. (2) Ματθ. κϐ'. 32.

6 Καὶ εἶπέ μοι, Γέγονε· Ἐγώ εἰμι τὸ Α καὶ τὸ
Ω· ἡ ἀρχὴ καὶ τὸ τέλος· ἐγὼ τῷ διψῶντι δώσω ἐκ
τῆς πηγῆς τοῦ ὕδατος τῆς ζωῆς δωρεάν.

Ἄλφα καὶ ὠμέγα, πρῶτον τῶν στοιχείων καὶ ἔσχατον, εἴρηται ὁ Χριστὸς, διὰ τὸ εἶναι αὐτὸν ἀρχὴν ἄναρχον, καὶ τέλος ἀτελεύτητον τῶν ὄντων. Ἔςι δὲ προσέτι, ὡς μὲν Θεὸς, ἀρχὴ πάντων τῶν κτισμάτων· ὡς δὲ ἐνανθρωπήσας ἐν ἐσχάτοις τοῖς καιροῖς, νοεῖται καὶ πέρας· καὶ διότι ἐφαπλοῖ τὴν πρόνοιαν αὐτοῦ ἐπί τε τῶν ἀνωτάτω καὶ ἐνδόξων, καὶ ἐπὶ τῶν κατωτάτω καὶ εὐτελεστέρων. Ὁ αὐτός ἐστι καὶ πηγὴ τῆς ζωῆς, ὅστις τῷ διψῶντι καὶ ἐπιθυμοῦντι αὐτοῦ δίδωσι χάριν καὶ ζωὴν αἰώνιον, ἥτις λέγεται δίδοσθαι δωρεάν· οἱ γὰρ κόποι καὶ κάματοι, οὓς ὑφίστανται οἱ δίκαιοι ἐν τῷ παρόντι βίῳ, οὐκ εἰσιν ἀντάξιοι τῶν ἐσομένων αὐτοῖς ἀγαθῶν, διὸ λέγεται δωρεὰν δίδοσθαι ταῦτα αὐτοῖς.

7 Ὁ νικῶν κληρονομήσει πάντα καὶ ἔσομαι αὐ-
τῷ Θεὸς, καὶ αὐτὸς ἔσται μοι υἱός.

8 Δειλοῖς δὲ καὶ ἀπίςοις, καὶ ἐβδελυγμένοις, καὶ
φονεῦσι, καὶ πόρνοις, καὶ φαρμακεῦσι, καὶ εἰδωλο-
λάτραις, καὶ πᾶσι τοῖς ψευδέσι, τὸ μέρος αὐτῶν
ἐν τῇ λίμνῃ τῇ καιομένῃ πυρὶ καὶ θείῳ, ὅ ἐστι δεύ-
τερος θάνατος.

Δειλοὶ λέγονται οἱ ἄτολμοι, καὶ οἱ ἀποδειλιῶντες πρὸς τοὺς καμάτους διὰ τὸ ἄνανδρον αὐτῶν. Οἱ τοιοῦτοι οὖν μετὰ τῶν ἀπίστων καὶ ἐβδελυγμένων καὶ πάντων τῶν παρανόμων βληθήσονται εἰς τὴν γέεναν.

9 Καὶ ἦλθε πρός με εἷς τῶν ἑπτὰ ἀγγέλων, τῶν ἐχόντων τὰς ἑπτὰ φιάλας τὰς γεμούσας τῶν ἑπτὰ πληγῶν τῶν ἐσχάτων, καὶ ἐλάλησε μετ᾽ ἐμοῦ, λέγων· Δεῦρο δείξω σοι τὴν γυναῖκα τὴν νύμφην τοῦ ἀρνίου.

Ὥσπερ οἱ ἰατροὶ τῶν σωματικῶν νοσημάτων, τὰ μὲν τέμνουσι καὶ καίουσι καὶ ὀδύνην ἐπάγουσι, τὰ δὲ παραμυθοῦνται μαλάγμασι καταπλάστοις ἰαματικοῖς, οὕτω καὶ οἱ ἄγγελοι τοῖς μὲν πληγὰς ἐπάγουσι, τοῖς δὲ εὐεργεσίας· ὅθεν ὁ ἄγγελος ὁ πρὶν ἐπαγαγὼν τὴν πληγὴν τοῖς ἁμαρτωλοῖς, ἰδοὺ νῦν εὐσπλάγχνως τε καὶ εὐμενῶς προσδιαλέγεται καὶ δείκνυσι τῷ Εὐαγγελιστῇ τὴν εὐδαιμονίαν καὶ καλλονὴν τῆς ἁγίας Ἐκκλησίας, ἤτοι τοῦ ἀθροίσματος τῶν εὐσεβῶν, ἥτις λέγεται γυνὴ τοῦ ἀρνίου· ὅτι ὥσπερ τοῦ Ἀδὰμ ἐν τῷ παραδείσῳ ἐν ἐκστάσει γενομένου, ἐκ τῆς πλευρᾶς αὐτοῦ δεδημιούργηται ἡ γυνὴ αὐτοῦ Εὔα, οὕτω καὶ τοῦ δευτέρου Ἀδὰμ, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν ὕπνῳ καὶ ἐκστάσει τοῦ θανάτου γενομένου, ἐν τῷ τυθῆναι ὡς πρόβατον ἐπὶ σταυροῦ, ἀπὸ τοῦ ῥεύσαντος αἵματος ἐκ τῆς νυγείσης αὐτοῦ πλευρᾶς συγκεκρότηται ἡ ἁγία Ἐκκλησία καὶ συνέζευκται αὐτῷ, γενομένη ἓν σῶμα μετ᾽ αὐτοῦ. Ἐσχάτας δὲ ὀνομάζει τὰς πληγὰς τὰς πληρούσας τὰς φιάλας, οὐχ ὅτι κατὰ χρόνον τελευταῖαί εἰσιν, ἀλλ᾽ ὅτι ὀδύνην καὶ πόνον τὸν ἔσχατον καὶ ἀκρότατον ἐπάγουσι τοῖς ἁμαρτωλοῖς.

10 Καὶ ἀπήνεγκέ με ἐν πνεύματι ἐπ᾽ ὄρος μέγα καὶ ὑψηλὸν, καὶ ἔδειξέ μοι τὴν πόλιν τὴν μεγάλην, τὴν ἁγίαν Ἱερουσαλὴμ, καταβαίνουσαν ἐκ τοῦ οὐρανοῦ ἀπὸ τοῦ Θεοῦ.

Τὸ ἐν πνεύματι σημαίνει, ὅτι νοῦς ἀνθρώπινος οὐδεὶς ἀναβῆναι δυνήσεται εἰς ὕψος μετάρσιον καταλήψεως καὶ θεωρίας τῆς δόξης τῶν ἁγίων, μὴ ἀναγόμενος ὑπὸ τῆς χάριτος τοῦ θείου Πνεύματος· ἐπεὶ δὲ τὸ πολίτευμα τῶν ἁγίων ὑπερφυές ἐστι καὶ ὑπερκόσμιον, διὰ τοῦτο ἐπ' ὄρος μέγα καὶ ὑψηλὸν ὤφθη αὐτῷ ἡ πόλις ἡ μεγάλη, ἥτις ἐστὶν ἡ τῶν ἁγίων διαγωγή. Ἡ δὲ κατάβασις τῆς Ἱερουσαλὴμ ἀπὸ τοῦ οὐρανοῦ, οὐ δηλοῖ μετάβασιν τοπικὴν, ἀλλ' ὅτι τὰ θεῖα καὶ ὑψηλὰ δόγματα καὶ τὰ κρύφια τῶν μυστηρίων τοῦ Θεοῦ συγκαταβατικῶς ἀπεκαλύφθησαν τοῖς ἀξίοις. Παρὰ τοῦ Θεοῦ δὲ λέγεται, ὅτι τῇ θείᾳ δυνάμει τοῦτο γέγονεν.

11 Ἔχουσαν τὴν δόξαν τοῦ Θεοῦ· καὶ ὁ φωστὴρ αὐτῆς ὅμοιος λίθῳ τιμιωτάτῳ, ὡς λίθῳ ἰάσπιδι κρυσταλλίζοντι.

12 Ἔχουσάν τε τεῖχος μέγα καὶ ὑψηλόν· ἔχουσαν πυλῶνας δώδεκα, καὶ ἐπὶ τοῖς πυλῶσιν ἀγγέλους δώδεκα· καὶ ὀνόματα ἐπιγεγραμμένα, ἅ ἐστι τῶν δώδεκα φυλῶν τῶν υἱῶν Ἰσραήλ.

13 Ἀπὸ ἀνατολῶν πυλῶνες τρεῖς· ἀπὸ βορρᾶ πυλῶνες τρεῖς· ἀπὸ νότου πυλῶνες τρεῖς, ἀπὸ δυσμῶν πυλῶνες τρεῖς.

14 Καὶ τὸ τεῖχος τῆς πόλεως ἔχον θεμελίους δώδεκα, καὶ ἐν αὐτοῖς ὀνόματα τῶν δώδεκα Ἀποστόλων τοῦ ἀρνίου·

Φῶς τῆς ἐκκλησίας καὶ λίθος ὁ πολύτιμος ταύτης ἐστὶν

ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὡς παρὰ τοῦ Προφήτου εἴρηται· Ὅτι ἐτέθη ἐπὶ τὸ θεμέλιον τῆς Ἰερουσαλὴμ λίθος πολυτελὴς ἔντιμος· Ἐφάνη δὲ ὡς μὲν ἴασπις, οὗτινος τὸ πράσινον χρῶμα, τῆς ζωτικῆς καὶ θρεπτικῆς ἰκμάδος τῶν ἐν τῇ γῇ τεκμήριον ὑπάρχον, σημαίνει ὅτι αὐτὸς ἐστι Θεὸς, ὁ ζωοποιῶν καὶ τρέφων τὰ πάντα· ὡς δὲ κρυσταλλίζων, διὰ τὸ διειδές τε καὶ εἰλικρινὲς, ὅτι ἀπήλλακται πάσης κηλίδος. Τὸ δὲ τεῖχος τὸ μέγα καὶ ὑψηλὸν ταύτης τῆς πόλεως, σημαίνει τὸν αὐτὸν, περιέποντα καὶ ἀσφαλιζόμενον καὶ περικρατοῦντα ταύτην τὴν πόλιν. Οἱ δὲ δώδεκα πυλῶνες εἰσὶν οἱ ἅγιοι Ἀπόστολοι, δι' ὧν ἐγένετο ἡμῖν ἡ εἰσέλευσις καὶ ἡ πρὸς τὸν Χριστὸν προσαγωγή. Οἱ δὲ ἐπὶ τῶν πυλώνων ἄγγελοί εἰσιν οἱ τούτους φρουροῦντες καὶ τὰς ὁδοὺς αὐτῶν κατευθύνοντες καὶ τὰ ἔργα ἐξευμαρίζοντες, καὶ τὸ κήρυγμα αὐτῶν ὁδοποιοῦντες. Οὗτοι οἱ Ἀπόστολοι εἰς τὰ τέσσαρα πέρατα τῆς οἰκουμένης πορευθέντες, ἐκήρυξαν τὴν παναγίαν Τριάδα· διὰ τοῦτο ἐν πάσῃ πλευρᾷ ἀνὰ τρεῖς πυλῶνας ἡ πόλις ἔχει. Οἱ αὐτοὶ καὶ θεμέλιοι λέγονται τῆς Ἐκκλησίας, ὡς τὸ θεμέλιον τῆς εἰς Χριστὸν πίστεως ἐγκαταθέντες αὐτῇ, καὶ τούτοις ἀναγράφονται πᾶσαι αἱ φυλαὶ τοῦ Ἰσραὴλ, τουτέστι τῶν Χριστιανῶν τῶν ἐχόντων νοῦν ὁρῶντα τὸν Θεόν· καὶ αὐτοὶ εἰσαγαγόντες πάντας καὶ στηρίξαντες εἰς τὴν πίστιν, ἐγένοντο ὡς πυλῶνες καὶ θεμέλιοι αὐτῶν.

15 Καὶ ὁ λαλῶν μετ' ἐμοῦ εἶχε μέτρον κάλαμον χρυσοῦν, ἵνα μετρήσῃ τὴν πόλιν, καὶ τοὺς πυλῶνας αὐτῆς καὶ τὸ τεῖχος αὐτῆς.

16 Καὶ ἡ πόλις τετράγωνος κεῖται, καὶ τὸ μῆκος αὐτῆς τοσοῦτόν ἐστιν, ὅσον καὶ τὸ πλάτος· καὶ ἐμέτρησε τὴν πόλιν τῷ καλάμῳ ἐπὶ σταδίους δώ-

δεκα χιλιάδων. Τὸ μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος αὐτῆς ἶσα ἐστί.

Κάλαμος μετρήσεώς ἐςιν ἡ πρόγνωσις τοῦ Θεοῦ, ἐν ᾗ προγινώσκει τήν τε ποσότητα καὶ ποιότητα τῶν ὄντων αὐτοῦ, πρὸ καταβολῆς κόσμου, καὶ τοὺς πυλῶνας, τουτέςι τοὺς Ἀποστόλȣς τοὺς εἰσαγαγόντας ἡμᾶς εἰς τὴν πίστιν, πρὸς οὓς καὶ εἴρηκεν, ὅτι ἐγὼ ἐξελεξάμην ἡμᾶς ἐκ τοῦ κόσμου. Χρυσοῦς δὲ ὁ κάλαμος, σημαίνων τὸ τίμιον τῶν ἐκλεκτῶν τοῦ Θεοῦ, τῶν τηρησάντων τὰς ἐντολὰς τοῦ Θεοῦ, τὰς ὑπὲρ χιλιάδας χρυσίου καὶ ἀργυρίου τιμιωτέρας, τȣ̀ς καὶ ἐν τῷ παρόντι βίῳ πυρωθέντας καὶ δοκιμασθέντας τῇ φλογὶ τῶν θλίψεων, καὶ ἀποθεμένους πᾶσαν κηλίδα καὶ καθαρισθέντας ὡς χρυσίον καθαρὸν, ἄξιον ταμιευθῆναι ἐν τοῖς θησαυροῖς τοῦ οὐρανίου βασιλέως. Ταῦτα πάντα προῄδει ἡ τοῦ Θεοῦ πρόγνωσις, καὶ ὅτι ὡς τεῖχος φυλάξει αὐτȣ̀ς ἀπὸ τῶν ἐναντίων προσβολῶν. Τετράγωνος δὲ ἡ πόλις· ὁ γὰρ σταυρὸς ἐφ' ὃν τεθεμελίωται τετραπέρατός ἐστιν, οἵ τε πιστοὶ οἱ τὴν Ἐκκλησίαν συγκροτοῦντες ἐκ τῶν τεσσάρων περάτων ὑπάρχουσι τῆς οἰκουμένης. Αἱ δὲ δώδεκα χιλιάδες τῶν σταδίων, σημαίνουσιν ὅτι οἱ πιστοί εἰσι καρποφορία τῆς πορείας καὶ τῆς ἐγκόπȣ περιηγήσεως τῶν δώδεκα Ἀποστόλων. Τὸ δὲ ἶσα ἀλλήλοις εἶναι τὰ διαστήματα τῆς πόλεως, τό τε μῆκος καὶ τὸ πλάτος καὶ τὸ ὕψος, σημαίνει ὅτι αἱ τῷ Θεῷ εὐαρεστοῦσαι πράξεις ἰσόπλευραι καὶ ἰσόμετροί εἰσιν, ἐν πᾶσι τὸ αὐτὸ μέτρον σώζουσαι ἄνευ ὑπερβολῆς καὶ ἐλλείψεως.

17 Καὶ ἐμέτρησε τὸ τεῖχος αὐτῆς ἑκατον τεσσαράκοντα τεσσάρων πηχῶν, μέτρον ἀνθρώπου, ὅ ἐστιν ἀγγέλου.

Τὰ ἑκατον τεσσαρακοντα τέσσαρά ἐςιν ἀριθμὸς τοῦ δώδεκα

πολυπλασιάσαντος ἑαυτὸν, περὶ οὗ προείρηται. Τὸ δὲ εἰπεῖν μέτρον ἀνθρώπυ, ὅ ἐστιν ἀγγέλυ, ἀντὶ τοῦ, ταῦτα ἃ ἑώρακά ἐςιν ὁράσεις κατὰ τὸ ἐφικτὸν ἀνθρώποις, μὴ δυναμένοις κατοπτεύειν τὰ θεῖα, εἰμὴ ταῖς αἰσθήσεσιν, οὐδὲ ἐκφράσαι ταῦτα, εἰμὴ τῇ κατὰ ἄνθρωπον συνέσει. Ὁ δὲ φανεὶς καὶ μετρῶν ἦν ἄγγελος, ἀντὶ τοῦ, ὁ μετρήσας τὴν πόλιν ἄγγελος οὐκ ἀφῇ ἀγγελικῇ ἁπλῇ μεμέτρηκεν, ἀλλ' ὃν τρόπον μετρεῖ ἄνθρωπος.

18 Καὶ ἦν ἡ ἐνδόμησις τοῦ τείχους αὐτῆς ἴασπις, καὶ ἡ πόλις χρυσίον καθαρὸν, ὁμοίᾳ ὑάλῳ καθαρῷ.

Ἡ οἰκοδόμησις τῆς πόλεως τοῦ Θεοῦ, ἥτις ἐστὶν ὡς προὔφημεν ἡ κατάπαυσις καὶ μακαριότης τῶν εὐσεβῶν, ἡ προσγεγονυῖα διὰ τῆς σπουδῆς καὶ τοῦ ἀγῶνος τῶν Ἀποστόλων εἰς τὸ κήρυγμα τοῦ Εαγγελίου, ὡς ἴασπις μὲν ἐφάνη, δηλοῦσα τῷ πρασίνῳ χρώματι τὸ ᾀειθαλὲς ταύτης καὶ ἀκμαῖον· ὡς δὲ ὕαλος καθαρὸς τὸ διειδὲς καὶ ἀστραπτικὸν καὶ δεκτικὸν τῆς ἡλιακῆς ἀγλαΐας καὶ λαμπρότητος.

19 Καὶ οἱ θεμέλιοι τοῦ τείχους τῆς πόλεως παντὶ λίθῳ τιμίῳ κεκοσμημένοι· ὁ θεμέλιος ὁ πρῶτος· ἴασπις· ὁ δεύτερος σάπφειρος· ὁ τρίτος χαλκηδὼν ὁ τέταρτος σμάραγδος.

20 Ὁ πέμπτος σαρδόνυξ· ὁ ἕκτος σάρδιος· ὁ ἕβδομος χρυσόλιθος· ὁ ὄγδοος βήρυλλος· ὁ ἔννατος τοπάζιον· ὁ δέκατος χρυσόπρασος· ὁ ἑνδέκατος ὑάκινθος· ὁ δωδέκατος ἀμέθυστος.

Οὗτοι οἱ πολύτιμοι λίθοι, τοῖς χρώμασι καὶ τοῖς ἰδιώμασιν

αὐτῶν, σύμβολα τυγχάνουσι τῶν ἀρετῶν καὶ τῶν ἰδιωμάτων ἑκάστου τῶν δώδεκα Ἀποςόλων. Καὶ ὁ μὲν πρῶτος λίθος ὁ ἴασπις, πράσινος μὲν ἐςιν, ἐπιφαινομένην δ' ἔχει ὠχρότητα, ὅστις καὶ δίψης ἐστὶν ἀποτρεπτικὸς, διὰ τοῦτο ὑπαινίττεται τὸν Ἀπόστολον Πέτρον, ὅστις πρὸ μὲν τοῦ παραδοθῆναι τὸν Χριστὸν τοῖς Ἰουδαίοις ἦν χλοερὸς καὶ ἀκμαῖος καὶ εὐθαρσὺς καὶ ἐν πάσῃ ἐρωτήσει πρόχειρος ἀποκρίνασθαι, λέγων καὶ ἑαυτὸν ἕτοιμον εἶναι εἰς θάνατον ὑπὲρ Χριστοῦ· ἐν δὲ τῷ καιρῷ τῆς παραδόσεως ἐπέχρωσεν αὐτὸν ὠχρότης δειλίας, ὡς καὶ ἀρνήσασθαι τὸν Χριστὸν, εἶτα τοῖς ῥεύμασι τῶν δακρύων τήν τε αὐτοῦ ἀπέπλυνεν ἄρνησιν, καὶ ἑτέρους πολλοὺς φλεγομένους ὑπὸ τοῦ δίψους τῆς ἁμαρτίας δροσίζει ἕως ἄρτι καὶ ἀναψύχει μιμησαμένους τὴν αὐτοῦ μετάνοιαν. Ὁ δὲ δεύτερος σάπφειρος, ὃς ἔχει χρῶμα οὐράνιον, σύμβολόν ἐστι τοῦ μέχρι τρίτου οὐρανοῦ ἀναβάντος Παύλου. Ὁ τρίτος χαλκηδὼν, ὃς ἔχει χρῶμα ἐρυθρὸν καὶ πυρῶδες, σύμβολόν ἐστιν Ἀνδρέου· ἐν γὰρ τῇ νυκτὶ τῆς ἀγνωσίας, οὗτος πρῶτος ἐπέγνω τὸν Χριστὸν, ὥστε καὶ τῷ ἀδελφῷ αὐτοῦ ἀπαγγεῖλαι καὶ εἰπεῖν, εὑρήκαμεν τὸν Μεσίαν, καὶ ὁδηγῆσαι αὐτὸν πρὸς τὸν Χριστόν. Ὁ τέταρτος σμάραγδος, οὗ τὸ ἰδίωμα τῇ ἀγλαΐᾳ ἀποτρέπειν τὴν λύπην καὶ τὸ σκότος· ἔστι δὲ τύπος τοῦ παρόντος Εὐαγγελιστοῦ Ἰωάννου τοῦ ἠγαπημένου· οὗτος γὰρ τῇ ἀγλαΐᾳ τῆς παρθενίας, ἔτι δὲ καὶ ἐν ἀρχῇ τοῦ Εὐαγγελίȣ αὐτοῦ θεολογήσας τὸν Υἱὸν ἀπεσόβησε τὸν ζόφον τῆς ἀγνοίας, καὶ ἐξῆρε τὴν ἐκ τῆς ἀσεβείας ἀθυμίαν. Ὁ πέμπτος σαρδόνυξ, ὅςις ἅμα τῇ λευκότητι ἔχει καὶ κτηδόνας, οἷον αἱματηρὰς, καὶ ἔςι σύμβολον Ἰακώβȣ τοῦ ἀδελφοῦ Ἰωάννου· οὗτος γὰρ καταυγάσας πολλοὺς τῷ φωτὶ τοῦ Εὐαγγελίου ἐξέχεε καὶ τὸ αἷμα αὐτοῦ πρὸ πάντων τῶν ἁγίων Ἀποςόλων. Ἕκτος σάρδιος, ὅστις θεραπεύειν λέγεται τὰ οἰδήματα τῶν ἐκ σιδήρου τραυμάτων, καὶ ἔστι σύμβολον Φιλίππου τοῦ Ἀποστόλου. Ἕβδομος χρυσόλιθος, οὗτινος τὸ μὲν χρῶμά ἐστιν ὡς χρυσοῦ καθαροῦ, κατὰ τοὔνομα οὐ μέντοι τήκεται, ὡς ὁ χρυ-

σὸς, ἀλλὰ στερεὸς καὶ ἀντίτυπος μένει λίθος, οὕτω καὶ Βαρθολομαῖος ὁ Ἀπόστολος, ταῖς μὲν λαμπρότησι τῶν ἀρετῶν ὡς χρυσὸς ἔςιλβεν, ἐν δὲ τῇ φλογὶ τῶν βασάνων ἀδιάλυτος καὶ ἀκαμπὴς διέμεινεν ἡ αὐτοῦ γενναιότης. Ὁ ὄγδοος βήρυλλος, οὗ τὸ χρῶμα θαλασσοειδὲς, καὶ σημαίνει τὸν Ἀπόστολον Θωμᾶν, τὸν διαβάντα θάλασσαν πολλὴν ἄχρις Ἰνδίας καὶ Αἰθιοπίας. Ὁ ἔννατος τοπάζιον, ἐρυθρὸς πυρώδης καὶ αὐτὸς, ἐξ οὗ φασι προϊέσθαι κόμμυ θεραπευτικὸν ἀλγημάτων καὶ σκοτώσεων ὀφθαλμῶν, οὕτω καὶ ὁ Ματθαῖος ὁ Εὐαγγελιστὴς, τῷ πυρίνῳ ζήλῳ τῆς πίστεως συνεγράψατο τὴν γέννησιν καὶ αὔξησιν καὶ ἀνατροφὴν τοῦ Κυρίου ἡμῶν, καὶ τὰ λοιπὰ τῆς ἐνσάρκου οἰκονομίας, τὰ ἀποσκοτοῦντα καὶ ἀγλαΐζοντα τοὺς ψυχικοὺς ἡμῶν ὀφθαλμούς. Ὁ δέκατος χρυσόπρασος, οὗ τὸ χρῶμα χρυσομιγὲς πράσινον, καὶ σημαίνει τὸν Θαδδαῖον, μυήσαντα τὸν βασιλέα Αὔγαρον, καὶ πάντας τοὺς ἐν τῇ ἐπικρατείᾳ αὐτοῦ τὴν πίστιν τοῦ Χριστοῦ. Ἑνδέκατος ὑάκινθος ἀερώδης τὸ χρῶμα, τύπος ἐστὶ Συμεὼν τοῦ ζηλωτοῦ, οὗ ὁ ζῆλος πρότερον μὲν ἔπνει πανταχόσε, ὕστερον δὲ μαθητευθέντος τῷ Χριστῷ αὐτὸν μόνον διατέταται. Δωδέκατος ἀμέθυστος, οὗ τὸ ἰδίωμα ἀποτρέπειν τὴν μέθην τοῦ βαστάζοντος αὐτόν· τούτῳ ἀπεικόνισται Ματθίας· τῇ γὰρ τῶν δοξάντων τοῖς ἀσεβέσι μεθύειν Ἀποστόλων χειροθεσίᾳ, συγκαταλεχθεὶς τῇ ἱερᾷ αὐτῶν χορείᾳ, ἀντὶ τοῦ ἐξιστάντος Ἰούδα, ἔδειξεν αὐτοὺς νήφοντας καὶ σώφρονας, καὶ τῆς παρὰ τοῦ ὑψίςου ἐπιφοιτησάσης χάριτος τοῦ παναγίου Πνεύματος ἐμπεπλησμένους.

21 Καὶ οἱ δώδεκα πυλῶνες, δώδεκα μαργαρῖται, ἀνὰ εἷς ἕκαστος τῶν πυλώνων ἦν ἐξ ἑνὸς μαργαρίτου· καὶ ἡ πλατεῖα τῆς πόλεως χρυσίον καθαρὸν, ὡς ὕαλος διαφανής.

Τὸ κήρυγμα τοῦ Εὐαγγελίου, τὸ διαφημισθὲν παρὰ τῶν δώδεκα Ἀποστόλων, παρεικάζεται μαργαρίτῃ ἐξαισίῳ τὸ μέγεθος· τὸ γὰρ κήρυγμα τοῦτο μέγα καὶ ἐξαίσιον τῷ τε λόγῳ καὶ τῇ ἐνεργείᾳ τῶν σημείων τῶν καταπληξάντων τῷ μεγέθει τούς τε θεατὰς καὶ τὰς ἀκροατὰς, καὶ καταγγέλλων τὸν πολύτιμον μαργαρίτην τὸν Χριστόν. Ἡ δὲ πολιτεία αὐτῶν, καὶ ἡ διδαχθεῖσα ὑπ᾽ αὐτῶν τοῖς εὐσεβέσι διαγωγὴ, ἦν δόκιμος ὡς τὸ χρυσίον τὸ καθαρὸν, παντὸς μώμου καὶ κηλῖδος ἀπηλλαγμένη, καὶ στίλβουσα ὡς ὕαλος διαφανὴς καὶ ἀθόλωτος.

22 **Καὶ** ναὸν οὐκ εἶδον ἐν αὐτῇ. ὁ γὰρ Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ ναὸς αὐτῆς ἐστι, καὶ τὸ ἀρνίον.

Ὁ ναός ἐστι τύπος τῆς ἐσομένης μακαριότητος· ὅθεν παραγενομένου τοῦ τελείου καὶ τῆς ἀληθείας ἐνστάσης, οὐκέτι ἔσται ὁ τύπος τόπον ἐπέχων ναοῦ· τὰ γὰρ σύμβολα παρῆλθον· ἀντὶ δὲ ναοῦ ἐν ταύτῃ τῇ οἰκήσει τῶν μακάρων, ἔσται Κύριος ὁ Θεὸς ὁ παντοκράτωρ, καὶ τὸ ἀρνίον.

23 **Καὶ** ἡ πόλις οὐ χρείαν ἔχει τοῦ ἡλίου οὐδὲ τῆς σελήνης, ἵνα φαίνωσιν ἐν αὐτῇ· ἡ γὰρ δόξα τοῦ Θεοῦ ἐφώτισεν αὐτὴν, καὶ ὁ λύχνος αὐτῆς τὸ ἀρνίον.

24 **Καὶ** τὰ ἔθνη τῶν σωζομένων ἐν τῷ φωτὶ αὐτῆς περιπατήσουσι, καὶ οἱ βασιλεῖς τῆς γῆς φέρουσι τὴν δόξαν καὶ τὴν τιμὴν αὐτῶν εἰς αὐτήν.

Βασιλεῖς τῆς γῆς νόει ἐνταῦθα τοὺς νικήσαντας καὶ κατακυριεύσαντας τῶν γηΐνων παθῶν, οἳ καὶ δοξάσουσι τὸν Θεὸν τὸν ἐνισχύσαντα αὐτοὺς πρὸς τοῦτο.

25 Καὶ οἱ πυλῶνες αὐτῆς οὐ μὴ κλεισθῶσιν ἡμέρας· νὺξ γὰρ οὐκ ἔσται ἐκεῖ.

26 Καὶ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς αὐτήν.

27 Καὶ οὐ μὴ εἰσέλθῃ εἰς αὐτὴν πᾶν κοινοῦν καὶ ποιοῦν βδέλυγμα καὶ ψεῦδος, εἰμὴ οἱ γεγραμμένοι ἐν τῷ βιβλίῳ τῆς ζωῆς τοῦ ἀρνίου.

Τὸ μὴ κλεισθῆναι τὰς πυλῶνας αὐτῆς, σημαίνει τὸ ἀδεὲς καὶ ἀνεπηρέαστον καὶ ἀσφαλὲς, τὸ μὴ ἔχειν φόβον ἐφόδου ἀλλοτρίας, δεομένης κλεισθῆναι τοὺς πυλῶνας· καὶ ὅτι τὸ κήρυγμα τῶν Ἀποςόλων ἐγένετο ὡς πύλαι ἀνεῳγμέναι τῆς πρὸς τὸν Χριστὸν εἰσαγωγῆς· ὅπερ τηνικαῦτα ἔσται ἐναργὲς καὶ ἀναπεπταμένον ὡς πυλῶνες ἀνεῳγμένοι. Τὸ δὲ μὴ εἶναι νύκτα ἐκεῖ ὑπεμφαίνει, ὅτι νὺξ καὶ σκότος ἔσται τοῖς ἁμαρτωλοῖς, ὧν αἱ πράξεις ἐν τῷ βίῳ ὑπῆρχον ἐζοφωμέναι. Τὸ δὲ οἴσουσι τὴν δόξαν καὶ τὴν τιμὴν τῶν ἐθνῶν εἰς αὐτὴν σημαίνει, ὅτι οἱ κυριεύσαντες τῶν διαβεβλημένων παθῶν καὶ νικήσαντες ταῦτα, ὑπόδειγμα ἐγένοντο πολλοῖς, καὶ ὁδηγία πρὸς τὸ εἰσελθεῖν εἰς τὴν βασιλείαν, οἵτινες καὶ δοξάσουσι τὸν Θεὸν ἐπὶ τοῖς ἐνδόξοις ἔργοις αὐτῶν.

## ΚΕΦΑΛΑΙΟΝ ΚΒ΄.

1 Καὶ ἔδειξέ μοι καθαρὸν ποταμὸν ὕδατος ζωῆς, λαμπρὸν ὡς κρύσαλλον, ἐκπορευόμενον ἐκ τοῦ θρόνου τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου.

2 Εν μέσῳ τῆς πλατείας αὐτῆς καὶ τοῦ ποταμοῦ ἐντεῦθεν καὶ ἐντεῦθεν ξύλον ζωῆς, ποιοῦν καρποὺς δώδεκα, κατὰ μῆνα ἕνα ἕκαστον ἀποδιδοῦν τὸν καρπὸν αὐτοῦ καὶ τὰ φύλλα τοῦ ξύλου εἰς θεραπείαν τῶν ἐθνῶν.

Ποταμὸς καθαρὸς ὕδατος ζωῆς ἐστι τὸ ὕδωρ τοῦ ἁγίου βαπτίσματος, τὸ δροσίζον τὴν ὄρεξιν καὶ δίψαν τῶν δικαίων τῶν ἐπιποθούντων τὸν Κύριον, τῶν λεγόντων· «Ἐδίψησέ σε ἡ ψυχή μου» (1). Τὸ τοιοῦτον ὕδωρ ἐστὶν ὡς λαμπρὸν κρύσταλλον, διὰ τὸ ἁγνίζειν καὶ καθαίρειν τὰς ἁμαρτίας, καὶ φωτίζειν τοὺς ἐσκοτισμένους ὅταν βαπτισθῶσιν. Ἐκπορευόμενον δὲ λέγεται ἐκ τοῦ θρόνου τοῦ Θεοῦ, καὶ τοῦ ἀρνίου· διὰ γὰρ προστάγματος τοῦ Θεοῦ καὶ Πατρὸς γίνεται τοιοῦτον, τοῦ εἰπόντος διὰ τῶν Προφητῶν· Ῥαντιῶ αὐτοὺς ὕδατι καθαρῷ· καὶ διὰ τοῦ κελεύσματος τοῦ Υἱοῦ τοῦ ἐντειλαμένου τοῖς Ἀποσόλοις αὐτοῦ, καὶ εἰπόντος· Πορευθέντες εἰς τὸν κόσμον ἅπαντα βαπτίσατε τὰ ἔθνη εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. (2). Τοῦτο δὲ ῥέει ἐν ταῖς πλατείαις τῆς πόλεως τῆς εἰρημένης· οὐ γάρ ἐστιν εἰσελθεῖν εἰς τὴν βασιλείαν τοῦ Θεοῦ, ἄνευ τοῦ ὕδατος τοῦ βαπτίσματος. Ξύλον δὲ τῆς ζωῆς ἐστι τὸ γνῶναι καὶ ὁμο-

(1) Ψαλμ. ξά, 1. (2) Ματθ. κή, 19.

λογεῖν τὴν Θεότητα τοῦ Χριστοῦ. Τὸ δὲ εἶναι τὸ ξύλον ἐντεῦθεν καὶ ἐντεῦθεν τοῦ ποταμοῦ, σημαίνει ὅτι αὕτη ἡ γνῶσις ὠφέλιμός ἐστιν ἔν τε τῷ παρόντι βίῳ καὶ ἐν τῷ μέλλοντι· ἄρχεται μὲν γὰρ ἐντεῦθεν, καταντᾷ δὲ ἐν τῇ ἀτελευτήτῳ ζωῇ· ἐντεῦθεν μὲν διὰ τῶν θεαρέςων πράξεων, φέρει δὲ εἰς τὴν ἀπόλαυσιν τῆς μακαριότητος καὶ τῆς ἐκεῖσε τρυφῆς. Περὶ τούτου προείρηκε καὶ Δαβὶδ ὁ Προφήτης λέγων· «Τὸ ξύλον τὸ πεφυτευμένον παρὰ τὰς διεξόδους τῶν ὑδάτων» (1). Τὸ δὲ λέγειν τὴν Ἀποκάλυψιν, ὅτι ποιεῖ καρποὺς δώδεκα, καὶ κατὰ μῆνα ἕκαστον ἀπιδίδωσι τὸν καρπὸν αὐτοῦ, ὅμοιόν ἐστι τῷ τοῦ ψαλμῳδοῦ, εἰπόντος· «Ὁ τὸν καρπὸν αὐτοῦ δώσει ἐν καιρῷ αὐτοῦ, καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀποῤῥυήσεται» (2)· σημαίνοντος τοῦ λόγου, ὅτι αἱ θεάρεστοι πράξεις αἱ προερχόμεναι ἐκ τῆς θείας ἐπιγνώσεως, σύμμετροι καὶ ἁρμόδιοί εἰσι τοῖς καιροῖς καὶ τοῖς χρόνοις· ἡ γὰρ ἀρετὴ συμμετρία ἐστὶ καὶ ἰσότης, ὡς γιγνομένη ὡς δεῖ, καὶ ὅτε δεῖ, καὶ ὅσον δεῖ· ἔφη γάρ που καὶ ὁ Ἀπόστολος, οὐδὲ ἀθλητὴν στεφανοῦσθαι, ἐὰν μὴ νομίμως ἀθλήσῃ (3). Ὅστις οὖν ἐργάζεται τὰς πράξεις αὐτοῦ ἐν γνώσει καὶ λογισμῷ, τοὺς μὲν καρποὺς, ἤτοι τὰς ἐξαιρέτους ἀρετὰς αὐτοῦ, δίδωσιν ὡς τροφὴν τοῖς ἐντελεστέροις· τὸ δὲ ἐν κόσμῳ πολίτευμα αὐτοῦ, τὸ ἀναλογοῦν τοῖς φύλλοις, οὐκ ἀποῤῥυήσεται, τουτέστιν οὐδὲ τοῦτο μάταιον καὶ εἰκαῖον ἀποῤῥιφήσεται, οὐδὲ εὐκαταφρόνητον ἔσται, ἀλλὰ καὶ τοῦτο γενήσεται θεραπεία τῶν ἐθνῶν, ἤτοι καὶ οἱ ἐθνικοὶ ὁρῶντες τὴν σεμνότητα τοῦ πολιτεύματος αὐτοῦ, θαυμάσουσι καὶ μιμήσονται τὸ καλόν· οἶδε γὰρ καὶ πολέμιος ἀρετὴν ἀνδρὸς θαυμάζειν.

3 Καὶ πᾶν κατανάθεμα οὐκ ἔσται ἔτι· καὶ ὁ θρόνος τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου ἐν αὐτῇ ἔσται· καὶ οἱ δοῦλοι αὐτοῦ λατρεύσουσιν αὐτῷ.

(1) Ψαλμ. ά. (2) Ψαλμ. ά. (3) Β΄ Τιμ. β΄, 5.

4 Καὶ ὄψονται τὸ πρόσωπον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν.

5 Καὶ νὺξ οὐκ ἔσται ἐκεῖ, καὶ χρείαν οὐκ ἔχουσι λύχνου καὶ φωτὸς ἡλίου, ὅτι Κύριος ὁ Θεὸς φωτίζει αὐτοὺς, καὶ βασιλεύσουσιν εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Οἱ πεισθέντες τῇ διδασκαλίᾳ τῶν δύω διαθηκῶν, τῆς Παλαιᾶς δηλαδὴ καὶ τῆς Νέας, καὶ τὰς θεαρέστους κτησάμενοι πράξεις, καὶ ἀποκαταστάντες θρόνος καὶ καθέδρα τοῦ Θεοῦ καὶ τοῦ ἀρνίου, ἤτοι τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, ὡς ἐπηγγείλατο ὁ Κύριος· «Ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα, καὶ μονὴν παρ' αὐτῷ ποιήσωμεν» (1). Οὗτος κατοικήσει τὴν οὐράνιον Ἱερουσαλὴμ, ἔνθα οἱ ἄγγελοι καὶ οἱ δίκαιοι προσφέρουσι Θεῷ δοξολογίαν· καὶ ὁρῶν τὸ πρόσωπον αὐτοῦ τοῦ Θεοῦ, ὅ ἐστι τὸ φῶς καὶ ἡ εὐπρέπεια αὐτοῦ, ὥσπερ ἐθεάσαντο οἱ Ἀπόστολοι τὴν δόξαν αὐτοῦ ἐν τῷ ὄρει τῷ Θαβώρ. Τὸ δὲ ὄνομα αὐτοῦ ἐπὶ τῶν μετώπων αὐτῶν, τουτέστιν ἡ δόξα καὶ ἡ λαμπρότης αὐτοῦ, ἐπὶ τοῦ προσώπου αὐτῶν ἐπιλάμψει.

6 Καὶ εἶπέ μοι· Οὗτοι οἱ λόγοι πιστοὶ καὶ ἀληθινοί· καὶ Κύριος ὁ Θεὸς τῶν ἁγίων Προφητῶν ἀπέστειλε τὸν ἄγγελον αὐτοῦ δεῖξαι τοῖς δούλοις αὐτοῦ ἃ δεῖ γενέσθαι ἐν τάχει.

7 Ἰδοὺ ἔρχομαι ταχύ· μακάριος ὁ τηρῶν τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου.

(1) Ἰωαν. ιδ', 23.

Κύριος ὁ Θεὸς ὁ δοὺς τοῖς Προφήταις πνεῦμα προφητείας, καὶ ἀποκαλύψας αὐτοῖς τὰ ἐσόμενα, οὕτως αὐτὸς ἀπεκάλυψε καὶ τῷ ἠγαπημένῳ αὐτοῦ Ἰωάννῃ διὰ τοῦ ἀγγέλου τὰ ἀναγκαίως ἐσόμενα.

8 Καὶ ἐγὼ Ἰωάννης, ὁ βλέπων ταῦτα καὶ ἀκούων, καὶ ὅτε ἤκουσα καὶ ἔβλεψα, ἔπεσον προσκυνῆσαι ἔμπροσθεν τῶν ποδῶν τοῦ ἀγγέλου τοῦ δεικνύοντός μοι ταῦτα.

9 Καὶ λέγει μοι· Ὅρα μή· σύνδουλός σου γάρ εἰμι, καὶ τῶν ἀδελφῶν σου τῶν Προφητῶν, καὶ τῶν τηρούντων τοὺς λόγους τοῦ βιβλίου τούτου· τῷ Θεῷ προσκύνησον.

Τηροῦντας τοὺς λόγους τοῦ βιβλίου τούτου, λέγει τοὺς προσέχοντας καὶ φυλαττομένους μὴ ὑποπεσεῖν τῇ ἐνοχῇ τῶν βασάνων τῶν ἐν τῷ παρόντι δηλουμένων.

10 Καὶ λέγει μοι· Μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου, ὅτι ὁ καιρὸς ἐγγύς ἐστιν.

Τὸ μὴ σφραγίσῃς τοὺς λόγους τῆς προφητείας τοῦ βιβλίȣ τούτου, ἀντὶ τοῦ, μὴ σιγήσῃς μηδὲ ἀποσιωπήσῃς, ἀλλὰ γράψας ἀνάγγειλον πάντα ὅσα εἶδες, ἵνα οἱ βουλόμενοι μετανοήσωσι. Τὸ δὲ ὁ καιρὸς ἐγγύς ἐστιν, ἀντὶ τοῦ, πάντως καὶ ἀναγκαίως γενήσεται τὰ ῥηθέντα· ὅθεν χρεὼν ταῦτα διασαφῆσαι, ἵνα πρὸ τοῦ γενέσθαι μεταμέλειαν ἁμαρτωλοῖς ἐμποιήσωσιν.

11 Ο ἀδικῶν ἀδικησάτω ἔτι· καὶ ὁ ῥυπῶν ῥυπωσάτω ἔτι· καὶ ὁ δίκαιος δικαιωθήτω ἔτι· καὶ ὁ ἅγιος ἁγιασθήτω ἔτι.

Τουτέςι, σὺ μὲν ἀνάγγειλον πᾶσι τοῖς ἀνθρώποις τὰ ὁραθέντα· τῶν δὲ ἀκουσάντων ἕκαστος ποιησάτω τὸ αἱρετὸν αὐτῷ, εἴτε καλὸν εἴτε κακόν.

12 Καὶ ἰδοὺ ἔρχομαι ταχὺ, καὶ ὁ μισθός μου μετ᾽ἐμοῦ, ἀποδοῦναι ἑκάςῳ ὡς τὸ ἔργον αὐτοῦ ἔςαι.

13 Εγώ εἰμι τὸ Α καὶ τὸ Ω, ἀρχὴ καὶ τέλος, ὁ πρῶτος καὶ ὁ ἔσχατος.

Τὸ ὁ μισθός μου μετ᾽ ἐμοῦ, συνᾴδει τῷ ἐν κεφαλαίῳ ἑξηκοστῷ δευτέρῳ τοῦ Ἠσαΐου, «Ἰδοὺ ὁ σωτήρ σου ἔρχεται, καὶ ὁ μισθὸς αὐτοῦ μετ᾽ αὐτοῦ»· ὅπερ σημαίνει, ὅτι ἡ ἀνθρώπινος φύσις, ἣν προσείληφεν ὁ Υἱὸς τοῦ Θεοῦ ἐπὶ τῇ θείᾳ αὐτοῦ ὑποςάσει, ἀνθ᾽ ὧν ὑπέστη καμάτων τε καὶ παθημάτων ὑπὲρ τῆς σωτηρίας τοῦ παντὸς, ἔλαβε μισθὸν καὶ ἀμοιβὴν, τῷ συμπροσκυνεῖσθαι ἅμα τῇ θεότητι αὐτοῦ, ἀχώριστος καὶ ἀδιάστατος οὖσα τῆς θεότητος, καὶ τὸ συμπαραγενέσθαι ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ ἵνα κρίνῃ.

14 Μακάριοι οἱ ποιοῦντες τὰς ἐντολὰς αὐτοῦ, ἵνα ἔσται ἡ ἐξουσία αὐτῶν ἐπὶ τὸ ξυλον τῆς ζωῆς, καὶ τοῖς πυλῶσιν εἰσέλθωσιν εἰς τὴν πόλιν.

Εκ τούτȣ δείκνυται, ὃ καὶ ἐν ἄλλοις εἴρηται, ὅτι οἱ ἐργάται τῶν ἀγαθῶν πράξεων, καὶ ἐν σωφροσύνῃ καὶ πάσαις ταῖς θείαις ἐντολαῖς διάγοντες, οὗτοι καὶ ἀπολαύσουσι τοῦ ξύλου τῆς ζωῆς, τουτέστι προσέξουσι καὶ δέξονται τὴν διδασκαλίαν τῆς εὐσεβοῦς

πίστεως, καὶ εἰς τὴν πόλιν τὴν οὐράνιον, συγκαταλαγέντες τοῖς πιστοῖς, εἰσελεύσονται διὰ τῶν πυλῶν, αἵτινές εἰσιν αἱ τῶν Ἀποστόλων διδασκαλίαι· τοιοῦτος ἦν ὁ Κορνήλιος καὶ οἱ κατ' αὐτόν. Ἐκ τοῦ ἐναντίου δὲ οἱ αἰσχροπραγοῦντες καὶ ῥυπῶντες ἑαυτοὺς ταῖς κακαῖς πράξεσιν, εἰ καὶ ἔτυχον πιστεύσαντες, ἐκπίπτουσι τῆς πίστεως τῆς εὐσεβοῦς, καὶ πορεύονται εἰς ἀπώλειαν, οἷοι ἦσαν οἱ αἱρετικοὶ καὶ ἀποστάται.

15 Ἔξω δὲ οἱ κύνες καὶ οἱ φαρμακοὶ καὶ οἱ πόρνοι καὶ οἱ φονεῖς καὶ οἱ εἰδωλολάτραι, καὶ πᾶς ὁ φιλῶν καὶ ποιῶν ψεῦδος.

Τοῦτο σύμφωνόν ἐστιν, ᾧ εἴρηκεν ὁ Θεὸς τῷ Μωϋσῇ· «Μὴ προσάξῃς τῷ Θεῷ μίσθωμα πόρνης, καὶ ἀντάλλαγμα κυνὸς, μηδὲ ποιήσῃς εἰς τὸν οἶκον Κυρίȣ τοῦ Θεοῦ σȣ ἐν πάσῃ τῇ εὐχῇ σȣ» (1).

16 Ἐγὼ Ἰησοῦς ἔπεμψα τὸν ἄγγελόν μου μαρτυρῆσαι ὑμῖν ταῦτα ἐπὶ ταῖς Ἐκκλησίαις· ἐγώ εἰμι ἡ ῥίζα καὶ τὸ γένος τοῦ Δαβὶδ, ὁ ἀστὴρ ὁ λαμπρὸς καὶ ὀρθρινός.

Ἡ ῥίζα καὶ τὸ γένος τοῦ Δαβὶδ ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός· κατὰ γὰρ τὴν ἀνθρωπότητα αὐτοῦ ἐκ φυλῆς γέγονε τοῦ Δαβίδ· ὁ αὐτὸς καὶ ἀστήρ· ἀστὴρ γὰρ ἐμήνυσε τοῖς ἐξ ἀνατολῶν βασιλεῦσι τὴν γέννησιν αὐτοῦ ἐν πόλει Δαβίδ· ὀρθρινὸς δὲ ὁ ἀστὴρ, ὅτι ἡ γέννησις αὐτοῦ ἐγένετο οἷον ἀρχὴ καὶ πρωΐα ἡμέρας τῆς αὐτοῦ ἐν τῷ κόσμῳ ἐπιλάμψεως, καὶ ὅτι αἰτία ἐςὶ τῆς εὐδοκίας καὶ τῆς σωφροσύνης· λαμπρὸς δὲ, διότι φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον.

---

(1) Δευτ. κγ', 18.

17 Καὶ τὸ πνεῦμα καὶ ἡ νύμφη λέγουσιν· Ἐλθέ·
καὶ ὁ ἀκούων εἰπάτω, Ἐλθέ· καὶ ὁ διψῶν ἐλθέτω·
καὶ ὁ θέλων λαμβανέτω τὸ ὕδωρ τῆς ζωῆς δωρεάν.

Πνεῦμα ὀνομάζει ἐνταῦθα τοὺς δεξαμένους τι χάρισμα πνευματικόν· νύμφην δὲ τὴν Ἐκκλησίαν, ἤτοι τὴν ὁμήγυριν τῶν εὐσεβῶν· ἀκούοντα δὲ ὀνομάζει τοὺς κατηχουμένους, τοὺς μήπω βαπτισθέντας. Οὗτοι οὖν ἅπαντες προσδοκῶσι τὴν παρουσίαν τοῦ κριτοῦ, οὓς ἅπαντας προσκαλεῖται καὶ ὁ Ἀπόστολος εἰς ἀκρόασιν τούτων τῶν λόγων, καὶ πορισμὸν τῆς ἐκ τούτων ὠφελείας.

18 Συμμαρτυροῦμαι γὰρ παντὶ ἀκούοντι τοὺς
λόγους τῆς προφητείας τοῦ βιβλίου τούτου· Ἐάν τις
ἐπιτιθῇ πρὸς ταῦτα, ἐπιθήσῃ ὁ Θεὸς ἐπ᾽ αὐτὸν τὰς
ἑπτὰ πληγὰς τὰς γεγραμμένας ἐν βιβλίῳ τούτῳ.
19 Καὶ ἐάν τις ἀφέλῃ ἀπὸ τῶν λόγων τοῦ βιβλίου τῆς προφητείας ταύτης, ἀφαιρέσῃ ὁ Θεὸς
τὸ μέρος αὐτοῦ ἀπὸ βίβλου τῆς ζωῆς, καὶ ἐκ τῆς
πόλεως τῆς ἁγίας, καὶ τῶν γεγραμμένων ἐν τῷ
βιβλίῳ τούτῳ.
20 Λέγει ὁ μαρτυρῶν ταῦτα, Ναὶ ἔρχομαι ταχύ· Ἀμὴν, ναὶ ἔρχου, Κύριε Ἰησοῦ.
21 Η χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ
μετὰ πάντων ὑμῶν. Ἀμήν.

ΤΕΛΟΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000085492